M
567

BIBLIOTECA
DE LA
Universidad de Salamanca.
Est. 1 Caj. 1 Núm. 11.

M. Mrnz    Dr. Porcada

M
567

BIBLIOTECA UNIVERSITARIA DE SALAMANCA

Oribasio

De Medicina epistola VII.

BIBLIOTECA UNIVERSITARIA DE SALAMANCA

BIBLIOTECA UNIVERSITARIA DE SALAMANCA

## Σύνοψις τῶν Ὀριβασίου ἐννέα λόγων πρὸς τὸν υἱὸν αὐτοῦ Εὐστάθιον

Ἐν τῷ πρώτῳ διδάσκεται τὰ προφυλακτικὰ ἐν γυμνασίοις καὶ νο- ἐν τῷ πρώτῳ
σοις ἀκολούθως· καὶ μάλιστα ἀνδρῶν τε καὶ γυναικῶν· περὶ ἀ-
φροδισίων· ἀέρων· ὑδάτων· λουτρῶν αὐτοφυῶν τε καὶ τεχνικῶν·
καταπλασμάτων δρωπάκων· σιναπισμῶν· φοινιγμῶν· ἐν τῷ
δευτέρῳ περὶ τῆς καθόλου ὕλης· εὐκρασίας· δυνάμεως· ἐνδοξότα- ἐν τῷ β
του(?)· καὶ ποῖα ποίαις ἁρμόζει διαθέσεσιν· εὐδοκιμα-
σίας τῶν ἁπλῶν φαρμάκων· καὶ συμμέτρου συμμίξεως καὶ θέσεως(?)·
καὶ περὶ σταθμῶν· καὶ μέτρων· καὶ περὶ κοπτῶν(?) πλατυσμάτων·
ἐν δὲ τῷ τρίτῳ περὶ τῶν εὐδοκίμων χρήσεως κηρωτῶν· ἐμπλα- ἐν τῷ γ
στρων· μαλαγμάτων· τροχίσκων ξηρῶν· κολλυρίων· ξηροκολ-
λυρίων· ἀνακολλημάτων, σμιγμάτων· δρωπάκων· διαχρισ-
μάτων· ὀδόντων αὐτιδίων(?)· καθαρτηρίων, θυμιαμάτων·
ἐν δὲ τῷ τετάρτῳ, περὶ τροφῶν· λεπτοχύμων· παχυχύμων· θερμ- ἐν τῷ δ
ὑγρῶν· τροφίμων· ἀτροφῶν(?)· ἀπέπτων· εὐστομάχων· ἀφύσων·
λ. ἐμφρακτικῶν ῥυπτικῶν· ἐμπλαστικῶν(?)· παχυντικῶν· δυσφθάρτων· ὑπομαλακτικῶν·
καὶ τῶν ἐναντίων καὶ μέσων· καὶ περὶ ἑψήσεως ῥοφημάτων·
ζωμῶν· πομάτων· γαλακτοποσίας· καὶ ὑδάτων(?)· ἐν δὲ τῷ πέμ- ἐν τῷ ε
πτῳ, περὶ κυουσῶν· τρεφουσῶν· βρεφῶν ἀγωγῆς· καὶ πά-
σης ἡλικίας· καὶ διορθώσεως ὀδόντων· ἀκοῆς· ὀφθαλμῶν·
καθαιρέσεως σαρκῶν· φυλάξεως(?)· καὶ δυσκράτων(?) κράσεων, καὶ ἰά-
σεις· ἐν δὲ τῷ ἕκτῳ, σημειώσεις καὶ θεραπείας καὶ προγνώσεις πυ- ἐν τῷ ς
ρετῶν συμπτωμάτων· ἐν οἷς λέγει περὶ λειποθυμίας· συγκοπ-
ῆς(?)· [illegible] λοιμοῦ· ἀνορεξίας· βουλιμίας· ναυτίας· ἐμέτων· κυνικῆς ἐν τῷ ζ
ὀρέξεως· ἀγρυπνίας· καταφορᾶς· σπασμοῦ(?)· δίψης(?)· ἐν δὲ τῷ ἑβδόμῳ,
περὶ θεραπείας(?) [illegible] ἑλκῶν· αἱμορραγιῶν· οὐλῶν· ναρκωμάτων(?) [illegible]

Este libro es del comendador Griego (?)

BIBLIOTECA UNIVERSITARIA SALAMANCA
BIBLIOTECA UNIVERSITARIA SALAMANCA

## Σύνοψις τῶν Ὀριβασίου ἐννέα λόγων πρὸς τὸν υἱὸν αὐτοῦ Εὐστάθιον

Ἐν τῷ πρώτῳ διδάσκεται ὅσα πρὸς φυλακτικὰ ἐν τοῖς γυμνασίοις καὶ νω- | ἐν τῷ πρώτῳ
σεσι καθολικοῖς· καὶ μάλιστα εἰκάσεις ἀνθρώπων τε καὶ γυναικῶν· περὶ ἀ-
φροδισίων· ἀέρων· ὑδάτων· λουτρῶν αὐτοφυῶν τε καὶ τεχνικῶν·
καταπλασμάτων δρωπακῶν· σιναπισμῶν· φοινιγμῶν· ἐν τῷ
δευτέρῳ περὶ τῆς καθόλου ὕλης· ἐν κράσει· δυνάμει· ἐνεργεία- | ἐν τῷ β
ουσῶν· καὶ ποῖα ποίαις ἥρμοσαι διαθέσεσιν· ἐπὶ δοκιμα-
σίας τῶν ἁπλῶν φαρμάκων· καὶ σύμμεξιν ἐν μίξει καὶ ὁ τῆς ὑσει-
καὶ περὶ σταθμῶν· καὶ μέτρων· καὶ περὶ κοπλῶν πλατυσμάτων· | ἐν τῷ γ
ἐν δὲ τῷ τρίτῳ περὶ τῶν ἐνδοκίμων χρῆσθαι κηρωτῶν· ἐμπλα-
στρων· μαλαγμάτων· τροχίσκων ξηρῶν· κολλυρίων· ξηροκολ-
λυρίων· ἀνακολλημάτων, σμηγμάτων· δρωπακῶν· διαχρισ- | ἐν τῷ δ
μάτων· ὀδόντων ἀντιδότων· καθαρτηρίων, θυμιαμάτων·
ἐν δὲ τῷ τετάρτῳ, περὶ τροφῶν· λαπαχύμων· ἀχύμων· θερμῶν·
ψυχρῶν· τροφίμων· ἀτροφῶν (?) ἀπέπτων· ἀστομάχων· ἀφύσων·
ῥυπτικῶν· ἐμπλαστικῶν· παχυντικῶν· δυσφθάρτων· ὑπομαλακτικῶν | ἐν τῷ ε
καὶ τῶν ἐναντίων καὶ μέσων· καὶ περὶ ἐπιθέσεως ῥοφημάτων·
ζωμῶν· πομάτων· γαλακτοποσίας· καὶ ὑδάτων· ἐν δὲ τῷ πέμ-
πτῳ, περὶ κυουσῶν· τρεφουσῶν· βρεφῶν ναίοντων καὶ πα-
σης ἡλικίας· καὶ διορθώσεως ὀδόντων· ἀκοῆς· ὀφθαλμῶν· | ἐν τῷ ϛ
καθαιρέσεως σαρκῶν· φλεβοτομίας· καὶ διαγνώσεις κράσεων, καὶ ἰά-
σεις· ἐν δὲ τῷ ἕκτῳ, σημειώσεις καὶ θεραπείας καὶ προγνώσεις πυ-
ρετῶν συμπτωμάτων· ἐν οἷς λέγει περὶ λειποθυμίας· συγκοπῆς·
ὀδύνης· λοιμοῦ· ἀνορεξίας· βουλιμίας· ναυτίας· ἐμέτων· κυνικῆς | ἐν τῷ ζ
ὀρέξεως· ἀγρυπνίας· καὶ φορᾶς· σπασμῶν· δίψους· ἐν τῷ ἑβδόμῳ,
περὶ θεραπείας πλευριτικῶν (?)· αἱμορροϊδῶν (?)· ναρκωδῶν ῥευ-
μάτων·

Margin note: ἐμφραντικῶν

este libro es del [illegible]

ἐν λόγῳ η' γαγγραίνης. ἀποστημάτων, χοιράδων. σύριγγος. μύρμηκος. ἐλεφαντι-
άσεως. ἐν δὲ τῷ ὀγδόῳ, ὅσα κατὰ τὴν κεφαλήν. κεφαλῆς. ὀφθαλμῶν.
μυκτῆρας. μασχάλης. γόνατα(?). ἐν δὲ τῷ ἐννάτῳ, ὅσα περὶ θώρακα.
ἐν λόγῳ θ' σπλάγχνα. ἕως αἰδοίων συνίσταται. καὶ περὶ γυναικείων παθῶν.
καὶ ποδάγρας. καὶ ἀρθρίτιδος. καὶ ἰσχιάδος:~

## Τάδε ἔνεστιν ἐν λόγῳ πρώτῳ.

α περὶ [illegible] παρασκευῆς. β περὶ γυμνασίων. γ περὶ τῶν γυμνασίων.
δ περὶ ἰδίας ἕξεως(?). ε περὶ ἀναφωνήσεως. ϛ περὶ ἀφροδισίων. ϛ
ζ περὶ φλεβοτομίας. η περὶ ἀφαιρέσεως. θ περὶ μέτρου κενώσεως αἵματος. θ
ι ποῖ τμητέον φλέβα. ια τίς καιρὸς φλεβοτομίας. ιβ περὶ ἀρτηριοτομίας. ιβ
ιγ περὶ σικυασίας. ιδ περὶ ἐγχαράξεως. ιε περὶ βδελλῶν. ιε
ιϛ περὶ καθάρσεως. ιζ ὅσα καθαίρει τῶν ἐν τῇ χρήσει ἁπλῶν.
ἐλλέβορος μέλας. κνίδιος κόκκος. λινόζωστις. πολυπόδιον. κολοκυνθίς.
ἀλόη. ἐπίθυμον. ἀγαρικόν. εὐφόρβιον. κνῆκος. σκαμμωνία.
ιη πῶς ἄν τις ἀκόλως(?) ἐμέσοι. ιθ περὶ κλυσμοῦ. κ περὶ βαλάνων. κ
κα περὶ τῶν κενωτικῶν τῆς κεφαλῆς. κβ ὅσα ἐμμήνων ἀγωγά. ἱδρωτικά. κγ
κδ περὶ ἀβρόχων(?). κε περὶ πυριάσεως. αἰωρήσεων. καταπλασμάτων
καὶ σικυάσεων. κϛ περὶ καταπλασμάτων. κζ περὶ λουτρῶν. κζ
κη περὶ λουτρῶν τῶν ἐξ ἐπιτηδεύσεως. κθ περὶ αὐτοφυῶν λουτρῶν. κθ
λ περὶ δρωπακισμῶν. λα περὶ οἰνοποσίας. λβ περὶ τῆς εἰς ἔλαιον ἐμβάσεως. λβ
λγ περὶ ὑδρελαίου. λδ περὶ τῶν μαλακτικῶν συγκριτικῶν(?) βοηθημάτων.

λε. ὅσα φοινίσσει:~

ὀριβασίου πρὸς εὐστάθιον τὸν υἱὸν αὐτοῦ σύνοψις. καὶ ἐν λόγοις
ἐννέα. προφυλακτικαί τε καὶ σύνθετοι. εἶτα δὲ [illegible]-
καί τε καὶ θεραπευτικαὶ καὶ ἀναλογικαί. ἀπὸ τοῦ κεφαλαίου ἀρχαί:~

Κελεύσαντος Ἰουλιανοῦ τοῦ θειοτάτου αὐτοκράτορος, συναγα-
γεῖν ἐκ τῶν ἀρίστων ἰατρῶν ὅσα χρήσιμα καὶ ἀναγκαῖα πρὸς τὴν ἰατρι-
κὴν τέχνην, προθύμως συνέταξα ἐν ἑβδομήκοντα βιβλίοις. καὶ
ἐπεὶ δὲ νῦν ἐβουλήθης υἱὲ γλυκύτατε εὐστάθιε σύνοψιν αὐτῶν γενέσθαι,
ἐποιησάμην τοῦτο ἀόκνως. συνορῶν ὅτι τοῦ σοὶ μόνον χρησίμου τυχεῖν

∴ στ. μετὰ

## περὶ ἀποδημ.

ιανήσεται καλέσας ἐπίδημιν, ἀλλὰ καὶ τοῖς ἄλλοις τοῖς μὴ παντελῶς
τὴν ἰατρικὴν ἐκμαθοῦσιν· ὅθεν γὰρ ἐν ταῖς κατὰ πλεῖστον ἰατρικαῖς
πραγματείαις σχεδὸν ἐγυμνάσαντο, τὴν σύνοψιν ταύτην ἕ-
ξουσιν πρὸς εὐκολίαν τῆς ἀναλήψεως τῶν πρακτέων· οἱ δὲ — τῶν πρακτέων faciendorum
τοῖς συντόμως ῥηθεῖσι κεφαλαιωδῶς ἐντυγχάνοντες, εἰς
ὑπόμνησιν ἔρχονται τῆς ὅλης ὑποθέσεως καὶ γνώσεως· καὶ συμβαίνει σε ἤδη
χωρεῖς τοῦ φορτίου ἀπαλλάττεσθαι βαρέος, τὰς τῆς χρείας ἱκανῶς ἔ-
χων· γραφήσεται δὲ μόνα τὰ ἰάματα τῶν παθῶν, εὐμεταχείριστά τε
καὶ εὔπορα· καὶ ὅσα διὰ φαρμάκων καὶ διαίτης τὸ δέον ποιοῦντα
ὠφελεῖ· χειρουργίας δὲ μνήμην οὐ ποιήσομαι· τὸ δυσμεταχείριστον
αὐτῆς μάλιστα ἐν ἀποδημίαις παραιτούμενος· χρεία γὰρ ἐπ' αὐ-
τῆς τοῦ ἐπὶ πᾶν μηχανημάτων τε καὶ ὀργάνων, οὐδαμοῦ ἀπορεῖ-
ται· ὥσπερ ἐπὶ καταγμάτων πολλάκις· καὶ ἐκβολῆς ἄρθρων τινῶν
ὅσα δυνατὸν, διὰ μόνων τῶν χειρῶν ἀπαθοῦν ποιοῦσιν ἄρι-
στα παιδοτρίβαι τε καὶ ἀθλητικοὶ ἄνδρες· τὰ αὐτά τε οὖν καὶ
ὅσα ἄλλα διὰ τῆς τῶν χειρῶν ἐργασίας ἐκθεραπεύουσιν, ἄμεινον
ὑπὸ τῶν τριβάκων δρᾶσθαι· δέον τοίνυν ἐπιζητεῖν αὐτῶν — τριβάκων
ω γρ. ὑποθέσεσιν — τα, τῶν ἐπειγόντων ἡμᾶς, καὶ μὴ δεχομένων ὑποθέσεων, τὰς
ἰάσεις διὰ φαρμάκων καὶ διαίτης καταλέξομεν:–

### περὶ τρίψεως παρασκευαστικῶν.

Πρὸ τῶν γυμνασίων θερμαίνειν μετρίως τὸ σῶμα χρή· εἶτα — α^ον^
χρωμένους τοῖς διὰ σινδόνων· κἄπειτα δι' ἐλαίου τρίβειν γυμναῖς
ταῖς χερσίν, ἄχρις ἂν θερμανθῇ καλῶς· καὶ μαλαχθῇ τὸ
σῶμα· ἐπανθήσει τε ἔρευθος εὐανθές, καὶ εἰς ὄγκον ἀρθῇ:–

### περὶ γυμνασίων:

Κίνησις ἐστὶ σφοδρὰ τὸ γυμνάσιον· ὅρος δὲ τῆς σφοδρότητος ἡ — β^ον^
τῆς ἀναπνοῆς ἐπὶ τὸ δασύτερον ἀλλοίωσις· τὰ δὲ γυμνάσια δυσ-
παθῆ τε παρασκευάζει τὰ ὀργανικὰ μόρια· καὶ ἕτοιμα πρὸς
τὰς ἐνεργείας· τήν τε ὁλκὴν ἰσχυροτέραν τῆς τροφῆς· καὶ τὴν ἀλ- — ὁλκὴν
λοίωσιν ἑτοιμοτέραν· καὶ τὴν ὄρεξιν βελτίονα, διὰ τὸ γινόμενον — ἀλλοίωσις

θερμότητα· ἐκκαθαίρεται καὶ τοὺς πόρους. καὶ κενοῦται τὰ περιτ-
τώματα διὰ τὴν τοῦ πνεύματος ἰσχυρὰν κίνησιν. ἐπειδὴ οὖν τὴν ἀνα-
δόσιν οὖν ἐστι, χρὴ μήτε πλῆθος ὠμῶν καὶ ἀπέπτων σιτίων.
μήτε χυμῶν κατὰ τὴν κοιλίαν ἢ ἐν τοῖς ἐντέροις περιέχεσθαι.
κίνδυνος γὰρ αὐτὰς ἑλχθῆναι πρὶν πεφθῆναι· δῆλον οὖν ὡς
καὶ πρὸ τῶν σιτίων αὐτὰ παραλαμβάνεσθαι χρή. γυμνάσ-
ματα δὲ τῆς ἀπεψίας τῶν οὔρων ἡ χροά. τὸ μὲν γὰρ ὑδα-
τῶδες, ἄπεπτον ἔτι σημαίνει τὸν ἐκ τῆς γαστρὸς ἀναδοθέν-
τα χυμόν. τὸ δὲ πυρρὸν καὶ χολῶδες ἐκ πολλοῦ κατεργάσθαι.
τὸ δὲ μετρίως ὠχρὸν πέψεως γεγενημένης, σημεῖόν ἐστι.
τῷ ἱκανῶς ταῦτα τοίνυν ἄρτι ἐπὶ τὰ γυμνάσια προαποθέμενον,
τότε ἐν τῇ κύστει καὶ ἐν τοῖς ἐντέροις περίττωμα.—

ἢ πρὸς ἅπαντα τοῦ ζώου μόρια πρὶν [illegible] τοῖς γενέσθαι [illegible] θῆναι

Vrinæ colores indices esse cruditatis aut digestionis

## περὶ τῶν εἰδῶν τοῦ γυμνασίου· ιη.

θερμόληπτος. paulus

τῶν Τ

Τὸ μὲν δὴ κοινὸν ἁπάντων γυμνασίων ἐστὶ θερμότητα αὔξη-
σιν ἐξ αὐτῶν τοῖς ζώοις ἐργάζεσθαι. τὸ δὲ καθ' ἕκαστα τῶν καθ' ἕκας-
τὸ μὲν εὔτονον γυμνάσιον, τοῦτ' ἔστι τὸ βιαίως ἄνευ τάχους σκά-
πονοῦν· ὅσα λοιπὰ πλησκάζει τοὺς ταμοὺς καὶ τὰ ἀναρᾶ τοι
αὐτὰ δὲ ἐστὶ τὸ, τὸ σκάπτειν· καὶ τὸ φορτίον ἀράμενον μένειν,
ἢ μένειν κατὰ χώραν· ἢ προβαίνειν μικρά. καὶ οἱ ἐναντίον
δὲ περὶ πάλοι, τοῦ τε τοῦ γένους ἐστί. καὶ τὸ ἀναρριχᾶσθαι διὰ
χοινίου, καὶ πολλὰ ἄλλα ὁμοιότροπα. τὰ δὲ ταχέα χωρὶς
εὐτονίας καὶ βίας ἐστί· δρόμοι δέ εἰσι ταῦτα. καὶ σκιαμαχίαι.
καὶ ἀκροχειρισμοί. καὶ τὸ διὰ τοῦ χωρύκου τε καὶ τῆς μικρᾶς σφαί-
ρας γυμνάσια, ὅταν θέλων ἐστὶν ἐξ ἀτόνου καὶ ταχέως δὲ
ὠκύτατα τῶν γυμνασίων ἐστί, τοῖς ὡς σφοδροῖς αὐτοῖς χρῶ-
το. κινήσεως ταχείας προστιθεὶς ἄλλοις τῶν γυμνασίων· τὰ μὲν
ὀσφὺν μᾶλλον ἢ χεῖρας· ἢ σκέλη διαπονεῖ· τὰ δὲ τὴν ῥά-
χιν. ἢ τὸν θώρακα μόνον· ἢ τὸν πνεύμονα. γυμνάζεσθαι
δὲ χρή, μέχρις ἂν εἰς ὄγκον αἴρηται τὸ σῶμα· καὶ ἡ ἄνθος
ὑπάρχει· καὶ αἱ κινήσεις εὔτονοί τε καὶ ὁμαλοί· καὶ εὔρυθμοι γίνωνται

aliter in paulo

[illegible]. ex paulo

ἀναρριχᾶσθαι διὰ χοινίου

σκιαμαχίαι

ἀκροχειρισμοί

κώρυξια

⌗ κωρύκου. paulus

# εὔτονοι. paulus

θερμῶν ἀστριῶν ex paulo

Ἐν τούτοις δὲ ἤδη ἱδρῶτας ἐκθερμαίνας θερμὸν αὐτὸν συμμέτρως· παύσασθαι
δὲ τῶν γυμνασίων πρῶτον, ἐπειδὰν ἐν τῇ τῶν ἐρημένων ὁμοιω-
θῇ· οἷον ἐξ ἀφανοῦς συστελλόμενος ὅλου τοῦ σώματος ὁ ὄγκος αὐτίκα παύ-
ειν· ὡσαύτως δὲ καὶ τὸ τῆς χροιᾶς εὐανθὲς μεταβαίνοιτο παύεσ-
θαι· καὶ τῶν κινήσεων ἐπειδὰν ἐνδιδόναι που φαίνηται
κατὰ ταύτην αὐτίκα· καὶ περὶ τὸν ἱδρῶτα γίνοιτό τις ἢ κατὰ τὸ πλῆθος ἢ κατὰ
τὴν ποιότητα μεταβολή· ἐὰν γὰρ ἢ λεπτὸν ἢ ψυχρότερος
γίνηται, κατὰ ταύτην περιχέοντας τὸ ἔλαιον ἀποθερα-
πεύειν δὲ τοιούτῳ τρόπῳ· ἢ τῆς ἀποθεραπευτικῆς τρίψεως χρῆσ-
θαι ὡς εἰώθασιν οἱ παιδοτρίβαι ποιεῖν.

## περὶ τῆς ἰδίως διαφορᾶς τρίψεως. ϛον

Τῶν τρίψεων ἡ μὲν σκληρὰ δύναται δεῖν· ἡ μαλακὴ δὲ λύειν· καὶ διὰ
τοῦτο ὅσα μὲν ἐκλύεται παρὰ τὸ μέτριον σώματα, σκληρο-
τέρᾳ ἀνατριπτέον· ὅσα δὲ ἔσφιγκται μαλακῶς· ἡ δὲ τοῖς μεταξὺ
ἁρμόζουσα, τοῦτ' ἔστι δῆλον, ὡς οὔτε μαλακὴ οὔτε σκληρά· ἀλλ' ὅσον
οἷον τὰς ὑπερβολὰς ἀναλόγως φυλαττομένην· ἡ δὲ πολλὴ
τρῖψις, τὴν ἰσχνότητα ποιεῖ· καὶ ἡ μέση κατὰ ποσότητα τὴν ἀ-
νάθρεψιν· αἱ δὲ τρεῖς διαφοραὶ τῶν κατὰ ποιότητα τρίψε-
ων ταῖς τρισὶ διαφοραῖς ταῖς κατὰ ποσότητα τρίψεσιν ὑπαλλατ-
τόμεναι, συζυγίας ἀποτελοῦσιν ἐννέα.

## περὶ ἀναφωνήσεως ἐκ τοῦ Ἀντύλλου. εον

Τοῖς ἀναφωνήσασιν, ἡ μὲν εὐμέλεια καὶ χρηστοφωνία, οὐ-
δὲν ἂν συμβάλλοιτο πρὸς ὑγείαν· ὁ δὲ τῶν βαρυτέρων φθόγ-
γος, ἦχος χρήσιμος ὥστε τοῦτον ἀσκητέον· ὅλον γὰρ πλεῖστος
ἀὴρ εἰς τὸ σῶμα κατὰ τὴν ἀναπνοὴν ἀγόμενος, διατείνει τόν
τε θώρακα καὶ τὴν κοιλίαν· καὶ τοὺς καθόλου τοῦ σώματος πό-
ρους ἀραιοῖ καὶ διΐστησι· διὸ περὶ ἐν αὐτοῖς ἀναγνώσεσι ποι-
εῖται τῶν πλεοναζόντων ὑγρῶν τὰς ἐκκρίσεις· τοῖς μὲν οὖν τόνω-
ἀ πνώ τερον ἀναγινώσκουσι· μᾶλλον δὲ διὰ ἱδρώτων· τοῖς δὲ ἀπίσκι-
στέροις ἐν τοῖς γινομένοις διαφορὰς τῆς ἀδήλου γινομένης διαπνοῆς καθόλ

ἀνιέντας. ex paulo

τὸν ὄγκον· συμβαίνει γὰρ διὰ τὸν λεπτυσμὸν, πολλῶν περιττω-
μάτων ἀναχρέμπτομεν· καὶ πτυέλων καὶ μύξης καὶ φλέγματος
ἐκκρίσεις γίνεσθαι καὶ ἀπαναλῶσιν. τοῖς γε μὴν ἀναθυμια-
σίας δεομένοις διὰ τὴν ψυχρότητα, τίς ἂν ἄλλη προσφορωτέρα
γένοιτο βοήθεια τῆς κατὰ τὴν ἀναπνοὴν ἐνεργείας; τοῖς τοι-
νῦν ἀναγινώσκειν πολλάκις τὸ σῶμα ἅπαν· καὶ κεχυμένης
τῆς σαρκὸς εἰς ἀραίωσιν ἐπιστάντας ἐπιτηδεύειν. τήν τε ἀρ-
τηρίαν καὶ τὰς ἄλλας διεξόδους τοῦ πνεύματος κατὰ τὰς βαρύ-
τητας τῆς φωνῆς φθέγγεσθαι ἀπηχὲς ὅτι χρηστὸν ταῖς τῆς φω-
νῆς ἐνεργείαις· οὔτε ἧττον· οὔτε πλεῖστα ἁπλῶς· ἀλλὰ μήτε φαύ-
λων καὶ διεφθαρμένων μεστοὺς ὄντας ὑγρῶν· μήτε ἐπιμεστά-
λοις τοῦ στομάχου καὶ φανεραῖς ἀπεψίαις πρὸς τὴν τῆς διὰ φωνῆς
γυμνασίαν ἀφικνεῖσθαι· ὅπως ἂν μὴ πλείω ἀνάδοσις τῶν
διεφθαρμένων ἀτμῶν εἰς τὸ σῶμα γένηται:~

## περὶ ἀφροδισίων· ἐκ τοῦ ῥούφου:~

ον´ ς Ἐξ ἀφροδισίων ὠφελεῖσθαι οἵδε· πλησμονὴν κενῶσαι· καὶ ἐλα-
φρὸν παρασχεῖν τὸ σῶμα· καὶ εἰς αὔξησιν προτρέψαι· καὶ ἀνδρωδέ-
στερον ἀποφῆναι· καλὸν δὲ τὴν ψυχὴν, ὅπως καὶ τὰ πολλὰ λογισμοῦ
διαλύει· καὶ ὀργῆς ἀκράτου ἐπανίησι· διὸ καὶ τῶν μελαγχολικῶν
ὡς ἔστι καὶ ἕτερον ἴαμα ἐπιτηδειότατον σκέπτεσθαι· καθίστησι
δὲ εἰς τὸ σωφρονέστερον· καὶ τοὺς ~~ἄλλω τρόπῳ~~ ἐκμανέντας· καὶ
τοῖς ἀπὸ φλέγματος νοσήμασι κράτιστόν ἐστιν· οἵδε, διὸ ἰα-
τροὶ ἀντὶ ἀσιτῶν γένοιντο· οἱ δὲ καὶ ὀνειρωγμῶν συχνῶν ἀπηλλά-
γησαν· φύσεις δὲ ἐπιτήδειοι πρὸς ἀφροδίσια, αἱ θερμότεραι
καὶ ὑγρότεραι· καὶ πλεῖστον τῶν ἄλλων εἰσὶ λάγνοι καὶ ἐπίφοροι· ἥκιστα
δὲ δίαιται μὲν, ἢ ξηραίνουσαι καὶ ψύχουσαι· ἡλικία δὲ ἡ τοῦ γέ-
ροντος· ὥρα δὲ ἡ τοῦ φθινοπώρου· χρὴ τοίνυν τὴν δίαιταν
ὑγρὰν καὶ θερμὴν παρέχειν· εἰ καὶ δεῖ πονῶντα μετριότης καὶ
σιτίων· ὥσπερ δὲ οἱ μέτριοι πόνοι ἁρμόττουσιν, οὕτω καὶ οἱ τῶν
ἀφροδισίων· προστέπονται γὰρ εἰς τὸ ὅλον· καί τινα ῥᾳστώνην

ἀλλον τρόπον

ἀνιστάντας paul.

τῷ ἐθισμῷ περιέχουσι· δεῖ δὲ ἐπ᾿ ἐξ τινος ἄλλου, καὶ τροφῆς πε-
ριουσι· ὥστε τὰ πολύτροφα τῶν ἐδεσμάτων, ἢ καὶ ἐπιτή-
δεια· ἰχθύων δὲ οἱ πολύποδες· καὶ γὰρ καὶ ἄλλως πεπίστευται
ἐρεθίζειν· καὶ ὅσα μαλάκια· λαχάνων δὲ τὸ ὤκιμον· καὶ
τὸ ἐρύσιμον· καὶ τὸ εὔζωμον· καὶ ἡ ἱμογυλλίς· καὶ ταῦτα δὲ ἑῶς φάρ-
μακα· ὀσπρίων δὲ κύαμοί τε καὶ ἐρέβινθοι· καὶ ὦχροι· καὶ δό-
vacat λιχοι· (καὶ δόλιχοι) καὶ πίσοι· καὶ πίσοι· καὶ πνεῦμα τὸ
ὑποπίμπλαντα· καὶ τὴν ἄφθονα τῆς τροφῆς· καὶ τὸ πήγα-
νον τοίνυν ὅτι πνεῦμα σύμπεσσει καὶ ἀφανίζει, διὰ ταῦτα καὶ
τὰς μίξεις ἀμβλύνει· μεγάλως δὲ ἐπαινῶ καὶ τοὺς βολβούς· οὐ-
γραίνουσι τε γὰρ καὶ πνεῦμα ἅμα τοῖς ἐμπιπλᾶσι τὸ αἷμα· ὃ
δὴ ἀξόρμα πρὸς ἀφροδίσια· τῷ μέλλοντι δὲ ἀφροδισιά-
ζειν πλησμονὰς προσφάτους φυλακτέον· καὶ ἀπεψίας καὶ
μέθας· καὶ ἐνδείας· κακὸν δὲ καὶ ἐπὶ περιττώμασι μὴ στέλεσθαι·
μὴ ἐμπλησθέντι· καὶ γὰρ καὶ πρὸς τὴν ἰσχὺν συμφέρει· καὶ τοὺς ἐξῆς
ἐπιγινομένας ἧσσον γίνονται· ἐπὶ πόνοις δὲ πονηρὸν ἀφρο-
δισιάζειν, καὶ κόπους φυλακτέον καὶ ἐμμέτρως γεγυμνασμένους· καὶ
καθάρσεις ὡσαύτως· καὶ διάρροιαν ἐξαπιναίαν τὴν καὶ χρονιζο-
μένην ἐπιξηραίνουσα· ὡς καὶ τὰς σφοδρὰς ἐπιθυμίας οὐκ ἐπαι-
νῶ· ἀλλὰ κελεύω τότε δὴ πλέον ἀντέχειν· καὶ μάλιστα τοῖς νοσήμα-
σιν ἔστιν:~

## Περὶ φλεβοτομίας ἐκ τοῦ Γαληνοῦ:

Οὐ μόνον πλήθους ὄντος· ἤτοι πρὸς τὴν δύναμιν· ἢ τὸ κατὰ
τὸ καλούμενον περιέχομα φλεβοτομία μεγάλως ὀνίνησιν,
ἀλλὰ καὶ χωρὶς πλήθους ἀρχομένων φλεγμονῶν· ἤτοι διὰ
πληγὴν ἢ ὀδύνην· ἢ δι᾿ ἀτονίαν μορίου τινὸς ἔσεσθαι μέλλει
μεγάλα νοσήματα, φλεβοτομητέον πάντως· κἂν μηδὲν ἦ
τῶν τοῦ πλήθους γνωρισμάτων· ἐπισκεπτομένους τὴν ἡλικίαν
καὶ τὴν ὥραν καὶ δύναμιν· προσέχοντες ἐπὶ τὴν φλεβοτομίαν ἀ-
φιξόμεθα πάντως· ἐφ᾿ ἑτέρου πλῆθος, ὅταν φαίνεται
ταῦτα ἐπί τινος τῶν ἐπὶ τὰ συνήθη πραττόντων· ἢ οὐκ ἀ-
ναγκαῖον,

ὅταν μηδεμία προσδοκία μεγάλου νοσήματος. ἡ γνῶσις
οὖν καθόλου φλεβοτομίαν ἐπὶ πάντων τῶν μεγάλων νοσημά-
των ἀναγκαίαν εἶναι περὶ τῶν χρημάτων προσδοκωμένων. τοῖς δὲ
μηδὲν τοιοῦτον πεπονθόσιν ἁπάντων τεκμαίρεσθαι τοῦ σώματος
ἄμεμπτον ἐχόντων κατασκευήν, δύο ἐστὶν ὅροι τῆς κενώσεως.
δεῖται φλεβοτομίας μὲν ἡ ἀκρατὴς καὶ ἐν τῇ διαίτῃ. χωρὶς δὲ ταύ-
της καὶ ἐγκρατής. ἐν ἔστι γὰρ καὶ ζῆν πολλῷ καὶ λουτροῖς καὶ περι-
πάτοις, καὶ ταῖς ἄλλαις κινήσεσιν. ἔτι δὲ χρήμασι διαφο-
ρητικοῖς ταχέως ἐκκενοῦσθαι τοῦ πλήθους. εἰ μὴ ἄρα ὅσοις δὲ
ξυνέπεται παχέος αἵματος εἶναι. καὶ μελαγχολικοῦ πλεονε-
ξία. τούτοις καὶ αὐτοῖς γὰρ χρὴ φλεβοτομεῖν. τῶν δὲ ὠμῶν χυμῶν
ἐπικρατούντων, πρὶν μὲν ἄρξασθαι νοσεῖν εὐλαβῶς ἀποκε-
νώσεις. ἤδη δὲ πυρεττόντων οὐδ᾽ ὅλως. εἰ δ᾽ ἐστὶν ὅσοι ἁλῶναι
μὲν ἦσαν νοσήμασι μηδέπω δὲ μηδὲν παρέχει σύμπτωμα,
φλεβοτομεῖν χρὴ τούτους κατὰ τὴν ἀρχὴν τοῦ ἦρος. καὶ ὅσοι δὲ
καθ᾽ ἕκαστον ἔτος ἐν θέρει νοσοῦσιν νοσήματα πληθωρικά,
καὶ τούτους χρὴ φλεβοτομεῖν εἰσβάλλοντος ἦρος. καὶ ὅσοι δὲ
καθ᾽ ἕκαστον ἔτος. ὡσαύτως δὲ καὶ ὅσοι κατὰ τὸ ἔαρ ἁλίσκον-
ται τοῖς τοιούτοις νοσήμασι, συμφέρει γὰρ τοῦτο ποιεῖν πρὶν
ἄρξασθαι τὸ θέρος. ἐν τοῖς τελευταίοις τοῦ ἦρος:—

## περὶ ἐπαφαιρέσεως:

κεον Ἐφ᾽ ὧν μὲν κενώσεως χρεία πολλῆ, οὐκ ἰσχυρὰ δὲ ἡ δύναμις,
ἀπὸ τούτων προσήκει ταμιεύεσθαι τὴν κένωσιν. καὶ τὴν ἀφαί- ἡ πρώτη
ρεσιν ἐλλιπῆ ἐξ ἀρχῆς ποιησαμένους ἐπαφαιρεῖν αὖθις. εἰ δὲ βού-
λει καὶ περὶ τρίτην. ὥσπερ ἀμέλει καὶ ἐπὶ τῶν πλῆθος ἐχόντων ὠμο-
τέρων χυμῶν. ὅταν δὲ ἢ ζέον αἵματος πλῆθος ἀνάπτον ὀξὺ
τὸν πυρετόν, ἀθρόας ἐστὶ κενώσεως χρεία. καὶ χρὴ πειρᾶ-
σθαι κενοῦν ἄχρι λειποθυμίας. ἐπισκεψάμενον τὴν ῥώ-
μην τῆς δυνάμεως. ὥσπερ ἐνίων οἶδα κοτύλας ἐξαφελ-
θέως. ὥστε καὶ διὰ τῆς νυκτὸς οὐκ ὀκνήσεις τε ἐμπρὴν ἐν τοῖς

φλέβα· προσέχειν μέντοι καλῶς χρὴ τῇ καθαιρέσει τῶν σφυγμῶν ἐφαπτόμενος αὐτῶν· ἔτι ῥέοντος τοῦ αἵματος· ὅπως μή ποτε λάθῃς σεαυτὸν ἀντὶ λιποθυμίας θάνατον ἐργασάμενος·

## περὶ μετρίας κενώσεως αἵματος·

μέγεθος νοσήματος καὶ ῥώμη δυνάμεως οἱ πρῶτοι σκοποὶ φλεβοτομίας εἰσίν· οὓς αὐξανομένους μὲν ἐνδείκνυσθαι πλείονα κένωσιν· μὴ αὐξανομένους δὲ καθαιρεῖν εἰς τοσοῦτον τὴν ποσότητα τῆς κενώσεως, εἰς ὅσον ἐμειώθησαν οὗτοι· συνεπισκέπτεσθαι δὲ ἐφεξῆς ὁποία τίς ἐστιν ἡ φύσις τοῦ ἀνθρώπου· τοὺς μὲν γὰρ μεγάλας ἔχοντας φλέβας ἰσχνούς τε μετρίως, καὶ μήτε λευκοὺς μήτε ἁπαλοσάρκους ἀφοβώτερον κενώσεις· τοὺς δὲ ἐναντίους, φειδομένως· αἷμα τε γὰρ ὀλίγον ἔχουσι· κατὰ τὸν αὐτὸν γὰρ λόγον οὐδὲ τοὺς παῖδας φλεβοτομήσεις ἄχρι τεσσαρεσκαιδεκάτης ἡλικίας· μετὰ δὲ ταῦτα, ἐὰν ἠθροισμένον ᾖ πλῆθος αἵματος καὶ ἡ ὥρα τοῦ ἔτους ἐαρινή, καὶ τὸ χωρίον εὔκρατον· καὶ τοῦ παιδὸς φύσις εὔαιμος, ἀφαιρήσεις αἵματος· ἔτι δὲ μᾶλλον εἰ νόσημά τι σφοδρὸν ἐφεστήκασι· κενώσεις δὲ τὸ πλεῖστον, ἄχρι κοτύλης τὸ πρῶτον· ἐὰν δέ σοι φαίνηται τὰ τῆς δυνάμεως ἰσχυρά, προσθήσεις κατὰ τὴν ἐπαφαίρεσιν ἡμίσου· καὶ τοίνυν καὶ τοὺς ἑβδομήκοντα τοὺς κενώσεις τῶν δυνάμεων ἰσχυρῶν οὐσῶν· προσέχειν δὲ χρὴ καὶ τῇ μεταβολῇ τοῦ αἵματος, κατά τε χρόαν καὶ σύστασιν· καὶ μάλιστα· ὅταν ἡ φλεβοτομία παραληφθῇ ἕνεκα φλεγμονῆς·

ἢ καὶ διὰ τὸ ἀφόρητοι τυγχάνουσι

## ποίας τμητέον φλέβας

ἀντισπάσεως ἕνεκα τὰς κατ' ἀντίθεσιν τῶν αἱμορραγούντων τέμνε φλέβας· σπληνὸς δὲ πάσχοντος τὴν κατὰ τὸν παράμεσον δάκτυλον διαίρει τῆς ἀριστερᾶς χειρός· ἥπατος ἕνεκεν τὴν ἔνδον· καὶ ἐπὶ πλευριτικῶν δὲ τὴν κατ' εὐθὺ τοῦ πάσχοντος διαίρει· καὶ ὀδύνας ὀφθαλμῶν ἰσχυροτάτας ὠφελεῖ δὲ θαυμαστῶς, ἡ κατ' εὐθὺ φλὲψ διαιρεθεῖσα ἡ ὠμιαία κατ' ἀγκῶνος· οἱ τρεῖς γὰρ οὗτοι τόποι τῆς κατ' ἀγκῶνα φλεβοτομίας εἰσίν· ὅ τε ἔνδον· καὶ ὁ ἔξω· καὶ ὁ μέσος·

ἠρέμα οὖν ἔνδον, ἐπὶ τῶν κατὰ τοὺς βραχίονας πεπονθότων, ὠφέ-
λιμος· ὁ δ' ἐκτὸς τῶν κατὰ τὸ πρόσωπον καὶ τὴν κεφαλήν·
ὁ μέσος δὲ ἀμφοτέρων. ἁμαρτηθείσης δὲ τῆς φλεβοτομίας
κατὰ τὴν μέσην φλέβα, νεύροις ὑποκείμενον· καὶ χρὴ φυλάτ-
τεσθαι τέμνειν ταύτην ἄνευ μεγάλης ἀνάγκης· τὴν δὲ ὠμιαί-
αν φλέβα κατὰ πάντα τρόπον ἀκινδύνως τέμνειν. ἤδη
ἀ τινὸς μέντοι καὶ ἐπὶ ταύτης τινὲς ὠδυνήθησαν μέχρι πολλοῦ
χρόνου. τῶν δὲ οὕτω παθόντων, οὐδεὶς ἅπαξ διῃρέθη· οἷς
δὲ καί τισι ἐπιπαθόντων, ἐπειδὰν ἀπολήγωσι μεγίστης δὲ καὶ
πάσης γινομένης διαιρέσεως· οὐδεὶς οὔτε ἐφλέγμηνεν· οὔτε ὀδυ-
νήθη. διὸ χρὴ ταύτην τέμνειν ἀφόβως· μετὰ πολλῆς ἀσ-
φαλείας τὴν μέσην. ἀποχωρεῖν δὲ πειρᾶσθαι τῆς κάτω· ὡς
πρὸς δὲ τὰ εἰρημένα μόρια τῆς κατ' ἀγκῶνα φλεβοτομίας //
ὠφελεῖσθαι, κατὰ τὸν αὐτὸν τρόπον ὁ κατὰ τὰ ἄρθρα τούτων ἐστί,
καὶ τοῖς κατ' ἰγνύαν καὶ σφυρά· τουτέστι κατ' ἰσχίον καὶ κύστιν καὶ μή-
τραν. νεφροὶ δὲ ἐπαμφοτερίζουσι. χρὴ δὲ ἐπὶ μὲν τῶν ἀρ-
χομένων φλεγμονῶν ἀντίσπασιν ὡς ποιεῖσθαι τὴν φλε-
βοτομίαν· ἐπὶ δὲ τῶν κεχρονισμένων μάλιστα μὲν ἐξ αὐτῶν
τῶν πεπονθότων μορίων· εἰ δὲ μὴ ἐκ τῶν πλησίον. ἀφ' ὧν
δὲ σωμάτων οὐδὲν μὲν παρ' αὐτὸ μόριον οὐδέπω· φθάνομεν δὲ
κενοῦν ἦρος ἐσβάλλοντος· πᾶσα φλὲψ ὁμοτίμως εἰς ἀ-
φαίρεσιν ἐπιτηδεία ἐστί:—

## Τίς καιρὸς φλεβοτομίας. // ια

Ἐν πάσῃ μὲν ἡμέρας ὥρᾳ φλεβοτομητέον, πάσης δὲ νυκτὸς
σκοπούντων· ἐπὶ τῶν πυρεττόντων τὴν παρακμὴν τῶν κα-
τὰ μέρος παροξυσμῶν· ἐπὶ δὲ τῶν χωρὶς πυρετῶν δεομένων τοῦ
βοηθήματος, τὸ μὲν ἐπ' ἔθους τῆς ἐκκαθάρσεως ἐφ' ἡμέρας τῆς φλεβο-
τομίας ἐστὶ χρεία· μηδενὸς δὲ τοιούτου κατεπείγοντος, ἢ κωλύ-
οντος, ἄμεινόν ἐστιν ἕωθεν φλεβοτομεῖν προεγρηγορήσαντα
χρόνον ὡς μιᾶς ὥρας· καὶ λούειν δέ τινας ἄμεινον μὴ προ-

περὶ ἐπαλήσαντας ἐντός· τινὰς δὲ μετὰ τὸ πρᾶξαί τινα τῶν
σωματικῶν ἔργων· ὁ δὲ μετὰ τῆς ἀφαιρέσεως καιρός, ἐφ' ὧν
μὴ ἁπλῶς βουλόμεθα κενῶσαι, καὶ κατὰ τὴν ἐμφανῆ γενέ-
σθαι· ἐφ' ὧν δὲ ἀντισπάσαι, κἂν δύο ταῖς ἐφεξῆς ἡμέραις
γενήσεται, βέλτιόν ἐστιν·

περὶ ἀρτηριοτομίας·

ἀρτηρίας δὲ διαιροῦσιν οἱ ἰατροί, τὰς μὲν ἐν τοῖς κροτάφοις, ιβ'
ἐπὶ τοῖς ἐν ὀφθαλμοῖς ῥεύμασιν ὀξέσι θερμοῖς καὶ πνευμα-
τώδεσι· τοὺς δ' ὄπισθεν τῶν ὤτων ἐπὶ σκοτωματικῶν· καὶ μά-
λιστα ὅσοι χρονίοις νοσήμασι κεφαλῆς θερμοῖς καὶ πνευ-
ματώδεσι κάμνουσιν· ἤδη δὲ καὶ δι' ἄλλα πάθη περὶ κεφα-
λὴν συνιστάμενα χρόνια, κέχρηνται τῇ ἀρτηριοτομίᾳ
τῶν ὤτων ὄπισθεν· ἄλλας δὲ διαιρεῖν ἀρτηρίας ὀκνοῦσι· διὰ
τὸ δυσεπίσχετον τῆς αἱμορραγίας· καὶ ὅτι τῆς διαιρέσεως [illegible]
[illegible] ἰούσης ἀνεύρυσμα γίνεται·

περὶ σικυώσεως· ιγ'

οὔτε ἐν ἀρχαῖς τῶν παθῶν, οὔτε πληθωρικῶν ὄντων σικύ-
αις χρησόμεθα· ἀλλ' ὅταν προκενωθῇ πᾶν τὸ σῶμα, καὶ
μηκέτι ἐπιρρέῃ μηδὲν τοῖς μορίοις ῥεῦμα τε ἐντεῦθεν κινῆσαι,
καὶ μοχλεῦσαι· καὶ πρὸς τὸ ἐκτὸς ἑλκύσαι· φυλάττεσθαι δὲ
σικυίαν προσάγειν πλησίον μαστῶν· ἐπιπίπτοντες γὰρ
εἰς αὐτὰς ἐν τούτοις καὶ ἐνοιδοῦνται σφόδρα· δυσχερῶς τὴν ἀφαί-
ρεσιν ποιοῦνται· καὶ τοῖς ἐχρησαμένοις ἐν θερμῷ περιτεθεῖ-
σαν βαλεῖν τὰς σικύας· ἀνίεται γὰρ θερμῇ μὴ δεόντως ἀνεσπασθὲν
ῥυπαίνουσαν αὐτάς·

περὶ ἐγχαράξεως ἐκ τῶν Ἀπολλωνίου· ιδ'

Τὸ δ' ἐλθὸν πολλάκις τοὺς ἄλλους οὐκ ἐπὶ τὴν δέουσαν νομείσας·
ὅτι ἅμα τῷ σώματι πολὺ συνεκκρίνεται τὸ ζωτικὸν πνεῦμα·
τούτου δ' ἐνδεῶς μάλιστα κομιζομένου πυκνότερον ὅτε ὅλος ὄγκος κατα-
ψύχεται· καὶ πάντα τὰ φυσικὰ ἔργα χείρω γίνεται· ἐδο

κίμασ

σιῶν ἀπὸ τῶν ἀκρωτηρίων, οἷον τῶν σκελῶν τὴν ἀφαίρεσιν
ποιεῖσθαι. ἄριστον δὲ τὸ βοήθημα εἰς πλήρωσιν ὑστέρας·
καὶ εἰς ἀνάκλησιν· ὁπότε παραλυθῇ. ὠφελεῖ δὲ καὶ εἰς
ἐγχάραξιν ὀφθαλμοὺς χρονίους· ῥευματιζομένους· καὶ
τὰς ἄλλας περὶ κεφαλὴν διαθέσεις· καὶ τὰς περὶ θώ-
ρακα καὶ σιαγόνας· τὰς δὲ σφηνώσεις τὰς ἐπὶ τῶν ἰμο-
ρίων γινομένας. χρὴ λύειν διὰ τοπικῆς χαράξεως:

Περὶ βδελλῶν· ἐκ τῶν Ἀντύλλου.

ιε' Τὰς βδέλλας δὲ χρὴ λαβόντας φυλάττειν ἡμέραν μίαν·
αἷμα ὀλίγον εἰς σκαφίον βάλλοντας· ἐπεὶ δὲ λῆς χρῆ-
τὸ βδελλιζόμενον μέρος, προσκνιζούσθω· καὶ καταχρι-
έσθω αἵματι· ἢ πυριάσθω. τὰς δὲ βδέλλας ἐμβλητέ-
ον εἰς ὕδωρ καθαρὸν χλιαρόν· εἶτα λαβόντας αὐτὰς· καὶ
σπόγγῳ περιλαβόντας, τὸ γλισχρῶδες ἀποκαθαίρειν· καὶ
οὕτω προσβάλλειν. ἐμφῦσαι δὲ οὐ παύονται ἕλκουσαι,
μέχρις ἂν προσπάσωμεν ἅλας τοῖς στόμασιν αὐτῶν· ἢ
σποδόν. μετὰ δὲ τὸ ἀποπεσεῖν, πυριατέον σπόγγοις τὸ μόριον.
καὶ τὰ αἱμορραγοῦντα, ἢ κηκῖδα κεκαυμένην· ἢ σπόγγον
καινὸν ἀποβάπτοντα εἰς πίσσαν ὑγράν· καὶ καινὸν
ἐπιτιθέναι χάρτην ὀξει βεβρεγμένον:

Περὶ καθάρσεως.

ις' Τοὺς δὲ ὑγιεινὰ τὰ σώματα ἔχοντας, ἐργῶδες καθαίρειν· καὶ
γὰρ ἰλιγγιῶσι καὶ στροφοῦνται· καὶ οὐ χαριέστως αὐτοῖς ἡ κάθαρ-
σις προχωρεῖ· καὶ πρὸς τούτοις ἔτι ταχέως ἐκλύονται. τοὺς
δὲ ὑγιαίνοντας· νοσήσαντας δέ, ἢ μὴ κενωθέντας, φθάνειν
χρὴ κινοῦν ἐκβάλλοντος τοῦ ἦρος. τὰ δὲ ἐπιληπτικὰ
καὶ ἀσθματικὰ τῶν φλεγματωδῶν· ἀρθριτικὰ δέ, τὰ-
κις, ἅμα θερμασίᾳ πολλῇ, τῶν πικροχόλων. τὰ δὲ σὺν
ὄγκοις τῶν φλεγματικῶν. χρὴ δὲ προλεπτύνειν καὶ τέμνειν
τοὺς παχεῖς καὶ γλίσχρους χυμούς· καὶ τοὺς πόρους· δι' ὧν οὗτοι

μεταλαμβάνονταί τε καὶ ἕλκονται πρὸς τῶν καθαρτικῶν
φαρμάκων ἀναστομούντων, ἡ καὶ καθαρσὶς ἀρίστη μὲν γί-
νεσθαι κατὰ πάντα· ἐν ἀρχῇ μὲν τοὺς ὀρρώδους τε καὶ
λεπτοὺς κενώσεις χυμούς· ἀναμιχθέντος δὲ πεπτικ ἐπὶ τῶν
παχυτέρων καὶ γλισχρῶν· οἷοι τὴν φύσιν εἰσὶ τοῦ φλέγματος· καὶ τῆς
μελαίνης χολῆς· ἐπὶ δὲ τῶν ἤδη νοσούντων ἐν μὲν τοῖς χρο-
νίοις, ἄχρι τὸν πεπασμὸν ἀναμένειν· ἐν δὲ τοῖς ὀξέσιν,
ὅταν ὀργᾷ, καὶ κατ' ἀρχάς· οἷόν τε φάρμακα ἀμεταύλητα
βίας πολλῆς, συγκινήσαντα τῶν χυμῶν οὐ τῶν καὶ φορὰ
καὶ ῥύσει· τοὺς δὲ καθ' ἕν τι μόριον ἐστηριγμένους· οὔτε διὰ
τῶν ἄλλων βοηθημάτων ἐκχεῖν· οὔτε φάρμακα ἄνευ πεῖν
παφθῶσαι· ἐν ᾧ δὴ καιρῷ δὴ καὶ κρίσις γίνεσθαι· τῶν δὲ καθαι-
ρόντων φαρμάκων κακούντων τὸ στόμα τῆς γαστρός, ἡ μῖξις
ἐπενοήθη τῶν εὐωδῶν· ἀποσμήχουσι μὲν δὲ ἄκραι-
φνῆς δύναμις αὐτῶν ἀπληστα τοῦ στόματος τῆς γαστρός:~

ὅπως καὶ τῷ καθαίρειν τῷ μὲν τῇ χρήσει: ιζ

μέλας ἐλλέβορος καθαίρει κάτω χολώδη καὶ φλεγματώδη·
δίδοναι καὶ μὴ ἰσχνοῖς τὰς ἀσκαμώνια· εἰ δὲ πρᾳότερον βούλει
καθάραι, ἐλλέβορον ἐξ ὀρεινοῦ κάτανθα ξηρῶν τῶν ῥιζ-
ἐπιπάσσαι γλυκεῖ οἴνῳ· ἢ ὀξυμέλιτι ὅσον δραχμὰς
δύο· καὶ ἐν φακῇ ἢ ἐν πτισάνῃ ἑψήσαντα ἢ ζωμῷ
ὄρνιθος ῥοφῆσαι· τῆς δὲ ἀσκαμωνίας σμικρὸν ὅσον ἥμισυ
ὀβολὸν πρὸς τοῦ ἐλλεβόρου· ἄμεινον δὲ τῷ ἐλλεβόρῳ προ-
σάγειν ἀνήσου καὶ πετροσελίνου ἢ σταφυλίνου· ὡς πρὸς χάριν τοῦ
δύσματος· ὁ δὲ κνίδιος κόκκος καθαίρει φλέγμα καὶ χολὴν
καὶ ὑδατώδη καὶ πολλά· ἐστὶ δὲ καὶ πυρώδης· καὶ ὀξύτατον κα-
θάραι· δίδοναι δὲ πλῆθος ὅσον κόκκους τριάκοντα· εἰ δὲ
πρᾳότερον ἐθέλεις, ἡ ὁσίν· ἀφελεῖν δὲ τὰ πεσεῖ καὶ προπία·
καὶ δίδοναι τὰ ἐντὸς ξείνα ἀντα μετὰ μέλιτος· καὶ ἄλφιτον·
ἢ ἐν μάζῃ ἄλφιτα πίνειν· ἄμεινον δὲ ἐν μελιτοίνῳ πίνειν· ἐπεὶ δὲ

τῆς πόσεως ὡς βραχεῖ ἐλαίῳ καταρροφηθῆναι· ὡς μὴ κατὰ τὸν
φάρυγγα· λαμβάνειν δὲ καὶ μετὰ τεύτλων ἑφθῶν· ποιεῖ πλεῖσ-
τους κόπους κεκομμένους· τῆς δὲ λινοζώστεως ἡ μὲν ἀπὸ τῆς
ἁπαλῶν τῶν φύλλων ἐσθίεις· ἐκκοπροῖ ἱκανῶς· τὸ δὲ τὸ
ἀφέψημα κεραννὺς οἴνῳ πίνεις, τοῦτο ἰσχυρότατον· πολὺ
ποιεῖ δὲ ἄγει φλέγμα καὶ χολὴν καὶ τὰ ὑδατώδη· διδόναι ἢ
τῆς ῥίζης ὅσον οὐγγίας β' ἐπιχέων μελίκρατον· ἢ ὕδατος·
καὶ κικίον δὲ οὐδὲν καὶ ἐπὶ τὰ ῥίχον ξύσαντα φαγεῖν πρὸ τοῦ ἀ-
ρίστου· καθαίρει δὲ καὶ ἐντεριώνη· καὶ ἐν ζωμῷ ὄρνιθος ἡ
ῥίζα ἑψηθεῖσα, οὐ λίαν πικρῶς· σικυώνια δὲ ἢ κολοκυν-
θίς, καθαίρει φλέγμα καὶ χολὴν ἄκρατον ὅσον οὐγγίας ἡμί-
αν· τῆς ἐντεριώνης ἐν μελικράτῳ πρᾳότερον δὲ καθαί-
ρειν βουλόμενος τὸ κοῖλον σπέρμα τῆς σικυωνίας ἐκβάλλει· ἐγ-
χέας δὲ οἴνου γλυκέος ἑστὸν φλοιόν, ἔτει ἐπὶ μαλακῆς
τέφρας· ἕως ἂν καλῶς θερμανθῇ· τοῦτο διδόναι πίνειν οἷς
τε φέρειν οὐκ ἰσχυρῶς δεῖ· καὶ οἷς κατὰ τὸ δέρμα ἐξανθήσεις π-
κίδναι γίνονται· ἡ δὲ ἀλόη ὀξύμελι καθαρτικὸν οὐκ ἔστι στο-
μάχῳ δὲ ἀμεινόν ἐστιν· δίδοσθαι ὅσον οὐγγίας β' μετὰ μέλι-
τος πίνειν· ἄγει δὲ φλέγμα καὶ χολήν· ἀγαθὸν δὲ καὶ ἡ ἐφη-
μεῖα λαμβάνειν ἀπὸ δείπνου, διαχωρητικόν· καὶ τὰ σιτία
οὐκ ἀφανίζει· πρὸς δὲ καὶ ἀσπάραγοι· καὶ ἀσίτων· ζιζάνια
καὶ χυλῷ κράμβης πλάσσειν· τὰ δὲ ἡ κλίνη ἐρεβίνθου· τὰ
δὲ, κυάμοις ἴσα· καὶ τούτων λαμβάνειν καὶ δύο καὶ τρία ὅπως
καὶ χρὴ κενοῦσθαι· ἐπιτήδειον δὲ καὶ μετὰ ῥητίνης κατὰ
ποτίον δὲ καὶ σχάσασθαι· καὶ μετὰ ἑφθοῦ μέλιτος· καλῶς
δὲ ἂν καὶ ἀσκαμμωνίαν μίσγοιτο· ἐπίθυμον δὲ ἐστὶ μεγάλων
φλεγματωδῶν ἀγωγόν· δίδου δὲ κόψας καὶ διασήσας μετὰ
οἴνου γλυκέος πλῆθος οὐγγίας δύο· καὶ ἐπὶ πλεῖον μετὰ μέ-
λιτος τῶν ἄλλων προσμιγνύειν· σύμφορον δὲ τοῖς φυσώδεσι καὶ
ὑποχονδριακοῖς καὶ ἀπέπτοις· καὶ οἷς τὸ ἦπαρ βαρύνεται· καὶ

τοῖς δύσπνοικοῖς· ἀγαρικὸν δὲ καθαίρει φλέγμα καὶ χο-
λήν· ἀλλ' οὐκ ὀξέως· πλῆθος δὲ οὐγγίας β' διδόναι ἐπιπάσ-
σοντα μελίκρατον ἢ ὀξύμελι· τὸ εὐφόρβιον δὲ καθαίρει
ὑδατώδη πολλὰ καὶ χολώδη· ἐστὶ δὲ ὀξύτατον ὧν οἶδα καὶ
πυροδέστερον· ὅθεν τοῖς μὲν ὑδεριῶσι καὶ κωλικοῖς καὶ ὅσοι τὰς
χολώδεις ἔχουσι τὰς κοιλίας ἁρμόζει· τοῖς δὲ ἄλλοις τα-
ρακτικὸν ἰσχυρῶς καὶ διψῶδες· σμίγειν δὲ τῶν εὐωδῶν αὐ-
τῷ σπερμάτων· πίνειν δὲ μελίκρατον ὅσον τριώβολον· κνί-
κος δὲ καθαίρει μὲν φλέγμα καὶ χολήν· οὐ μὴν ἰσχυρῶς· δεῖ δὲ
τοῦ σπέρματος τετριμμένου πιέσαντι τὸν χυλὸν σμίγειν
ζωμὸν ὄρνιθος ῥοφᾶν· οἱ δὲ ἀνήθῳ καὶ μέλιτι καὶ ἀμυ-
γδάλοις σμίγουσι, τοῖς ἰκτερικοῖς κατὰ πότια ποιοῦσιν
ἁρμόζοντα· πλῆθος δὲ τούτου ὅσον ἂν ἀρκοῦσι· ἡ δὲ σκαμμω-
νία οὐδενὸς μὲν τῶν ἐλατηρίων ἧττον πέλει· οὔτε δὲ ὀξύτητα τό-
τε ἰσχύει, καρδιαλγὴς καὶ δύσοσμος καὶ ἄλλως πικρόν· καὶ ἄγαν
διψώδης ὅθεν οὐ πονηρῶς ἔνιοι ἀλόην σμίγουσι πρόσ-
φέρουσιν· οἱ δὲ θύμου κόμην καὶ ἅλας· οἱ δὲ τοῖς εὐώδεσι
σπέρμασιν· ἄγει δὲ φλέγμα καὶ χολὴν ἰσχυρῶς ἄκρατον δὲ
σὺν οὐγγίᾳ ᾱ τῷ δὲ πλέον πιόντι τοῦ φαρμάκου, ἢν ἔμε-
τοι προΐσαντο· τοῦτο μὲν ὀλίγον ἀποβάπτοντα ἐς ὄξος
μασήσασθαι, τοῦτο δὲ ἐλαίαν λευκὴν ἁλμάδα· τοῦτο
δὲ ἢ πλῶν χόνδρου ἐνθεῖναι τῷ στόματι· ταῦτα γὰρ κωλύει
τοὺς ἐμέτους· καὶ προσέτι κορίαννον ὀσφραινόμενον καὶ
γλήχωνα· ἢ καλαμίνθην· κάλλιον δὲ ἀναπαύειν τὴν
φύσιν βραχὺ ἐν τῇ κλίνῃ θάλποντα τὴν γαστέρα· καὶ ἄκρους
τοὺς πόδας· ὡς τότε εὐθὺς ποιεῖ πάλιν, πολλοὺς ἐμέτους
καὶ καρδιαλγμοὺς καὶ ἰλίγγους παρέχειν· ὀξέων δὲ ἐν καταστά-
σει σφοδρῶν αὐτῶν γίνωνται· τότε ἤδη πρὸς τὸν πο[illegible]
ἄγειν ~~κλύζοντα~~ ὑποκινεῖν ἡσυχῇ· τοῦτο γὰρ μᾶλλον ἐρεθισθῆ· :χελάσοντα
ἢ ὀξέως βαδίζει· λωφούσης δὲ τῆς καθάρσεως, κατακλίναντα

τρυφνά παν.

ἢ οὐ χαλεπὸν, ἐρεθιστικῶς μᾶλλον συνδιδῶσι· τῷ οἰκαυτῷ
δὲ καὶ ἐπιτροφὴν κατὰ λίθου μεταξὺ θερμοῦ ἔλαιος· καὶ γὰρ
τοὺς δηγμοὺς ἀποπλύνει· καὶ τὰς ἐκκρίσεις παρορμᾷ· μὴ
καθαιρομένων δὲ μέχρι ἱκανοῦ ἐπιτροφὴν καὶ νίτρου τετηκότος
ἐν ὕδατι· βέλτιον δὲ καὶ βῶλον προστίθεσθαι διὰ ἁλῶν καὶ νίτρου·

## περὶ ἐμέτων·

ιη Ἐπὶ τοῖς συντόμως ἐμοῦσι, πολλὰ ἄτοπα παρακολου-
θεῖν εἴωθε· καὶ καλῶς ἔχει τὸ ἔπειτα καθ᾽ ὃ ἔνεστιν αὐτοὺς
τοὺς ἐμεῖν· καὶ γὰρ φλέγμα κενοῖ· καὶ κεφαλὴν κουφίζει· καὶ
πολλάκις προθυμούμενοι σφακελίζοντα ἀπεπτηθέντα, καὶ οἴνου πλεί-
ονος ληφθέντα κωλύει βλαβῆναι· ἔσω δὲ τὰ προσφερό-
μενα μὴ σύμφορα καὶ ξηρά· ἀλλὰ μετὰ γλυκυτέρου· τὰ δὲ
τοῦ ἀρτιμύτου· δοκεῖ δὲ ἐν τούτοις ῥαφανὶς ἐδώδιμος μεθ᾽ ἁλῶν· ἢ καὶ
καὶ ταρίχου παλαιοῦ· καὶ ὀρίγανον χλωρόν· καὶ κρομμύου ὀλί-
γον καὶ πράσου· συμβάλλεται δὲ καὶ τοῖς ἐμέτοις ἀπὸ τῶν ὀσπρίων αἱ
τε πτισάναι μέχρι τινὸς ἔχουσαι· καὶ τὰ ἀπὸ τῶν κυάμων ἔ-
τνη· καὶ τὰ πίονα τῶν κρεῶν· ἀλλ᾽ ὅπως μὴ μόνον τοὺς χυλοὺς
αὐτῶν λαμβάνοις· ἀλλ᾽ ὅλους τοὺς οἴκους καὶ τὰ πίνειν· μὴ
τοίνυν μηδὲ περὶ τὴν μάσησιν ἱκανῶς διατρίβειν μέλλ-
ειν· τὸ δὲ ἐν τῷ ποτῷ μαλακὰ παρὰ τὰ ἔξω· δῆλον δὲ ὅτι καὶ
τῶν οἴνων ὡς ὅτι τοὺς γλυκυτέρους αἱρετέον· οὗτοι γὰρ ἐπι- ἢ αἱρετέας
πλαστικώτεροι· καὶ χλιαρωτέρῳ χρῆσθαι τῷ πότῳ· χρὴ δὲ
καὶ ἀμύγδαλα ἅμα μέχρι βραχὺ πλουτῆς ἐσθίειν· καὶ πλακοῦντος
γάλακτι τῷ οἰνομέλιτι· καὶ πέπονος σπέρμα βρέξαν-
τα καὶ λεάναντα μετὰ μέλιτος προσφέρεσθαι· παιδέτω δὲ καὶ
ἡ ῥίζα τοῦ σικύου τετμημένη μετὰ μέλιτος· οἱ δὲ ἰσχυρότε-
ρον βουλόμενοι χρῆσθαι· ναρκίσσου βολβὸν ἑψήσαντες
ἐν ἐλαίῳ τούτῳ κεραννύουσι τὸν οἶνον· προβρέχε δὲ ἅμα
καὶ ἴρινον μύρον αὐτοῖς διαχρίεσθαι τοὺς δακτύλους ἐρεθίζει.
ἐμετικὸν δὲ καὶ τὸ θερμὸν ἀνεῖναι καὶ ἀκαλήφην ἐπὶ τοῖς ἐμετοῖς.

[illegible]

τοῖς στόμα διακλύζειν, καὶ τὴν ὄψιν ἀπονίπτειν ἐπὶ τοῖς ἐ-
μέτοις ὀξυκράτῳ ὕδατι· καὶ γὰρ τοῖς ὀδοῦσι συμφέρει καὶ
διακουφίζει τὴν κεφαλήν.

περὶ κλυσμοῦ.

τῶν ἐνιεμένων διακλυστήρων, οἱ μέν εἰσιν ἁπαλοί· οἱ δὲ δριμεῖς· ιθ
ἕνεκα κοπρίων ἐν σώματι χρῶνται πυρετοῖς καὶ κακοήθεσι, καὶ ἐφ'
ἐν μακροῖς ἀσθενείας ἀναλαμβανόντων, δυσαλθέσι αἱμ-
φοδουμένου· καὶ ἐφ' ὧν δὲ ἀναλίσκεται τῶν πνευματικῶν· ἁρ-
μόζει δὲ ἐνίεσθαι ὡς πνεύματος τοῦ ... τοῦ χυλίαρου· καὶ κατὰ-
μίαν ἐκλείπειν· τελευταῖον δὲ ἀφέψημα ἐπὶ τῶν γυναικῶν ἐνί-
οτε· καὶ ἐπὶ τῶν βουβώνων· ὁμοίως δὲ καὶ μαλάχης καὶ
μάλιστα ἐφ' ὧν ξηρότης ἐστίν· ἐφ' ὧν δὲ καὶ δῆξις ἐστὶ λινοσπέρμου
ὁ δὲ τῶν πιτύρων χυλός· ἔτι δὲ ζωμός· ... τοῦ τε καὶ χόνδρου
καὶ ζωμὸς ... καὶ γίνεται πολλάκις χρεία μετὰ τὸ κλυσμοῦ
διὰ τὰ συμβαλλόμενα ζωμώδεις ὑποφέρεσθαι· ἁρμόζει
δὲ καὶ τοῖς ἐπιπολαίοις τῶν ἐντὸς ἑλκώσεσιν, καὶ τοιαύταις ἄνω
σις· ἁρμόζει δὲ ἐπὶ τούτων καὶ πλείονα αὐτή, προσλαβοῦσα χοιρεί-
ου στέαρ· ὁ δὲ τοῦ σεύτλου χυλὸς καὶ τὸ ἀφέψημα· ἁρμόζει ἐνί-
εμενα πρὸς τὰ λίπη τῶν ἐντὸς καὶ πάθη· διαλύει δὲ καὶ
ἰ συμβαλλα — τὰ συμβαλλα· καὶ τοῖς δι' ὧν ἕλκεσιν ὁ τὰ ξίσμοις ἀντιβαίνει·
ἀνδράχνης δὲ χυλὸς χρήσιμος ἐπὶ τῶν ἐν πυρώσει τῶν
κάτω παρακολουθούσων· καὶ ἐφ' ὧν διὰ ἔκκρισιν σκληρὸν
βάλων διακριθέντων διακενωθεὶς ὁ σφιγκτὴρ ἐρύσιπελα τῶν
δι' αὐτῶν σωθείσιν ἀναδέξατο· προσμείγνυται δὲ ἐπὶ τῶν τοιούτων
κυδώνια καὶ ἔλαιον ἐπὶ παντὸς φλεγμονῆς ἁρμόζει· καὶ ἐφ' ὧν
γίνονται στρόφοι διὰ πνεύματος· διαλύει γὰρ τὸ δύσμεικτον
τῶν πνευμάτων πηγάνου ἀφέψημα· ἢ κυμίνου· ἢ
ἀνίσου· ἢ δαφνίδων· καὶ τοῖς ἀπὸ τοῦ μετὰ πυρετοῦ ... γάλα
δὲ ἐνίοτε ἑλκώσεως οὔσης καὶ φλεγμονῆς περὶ τὰ ἐντὸς ... νε-
φρῶν· κύστιν· ὑστέραν· προσλαμβάνειν δὲ τὸ ὠὸν ἄχρι

ἢ μέλι· καὶ χυλὸν στρύχνου· καὶ ἀείζωον· ὑδρελαίῳ δὲ ἐπὶ δὲ ἄλλα
σὺν ἀποχῇ κοπρίων· ὁμοίως δὲ καὶ ὅσα φύλλον ὅλον ἀπὸ τοῦ
ἔξωθεν ἐμβαίνουσι· τὸ δὲ βούτυρον ἐφθὸν διὰ φλεγμονὴν καὶ ἀπα
θοῦς μένους καταχαλᾷ σκύβαλα· καὶ ῥυπαρῶν ἑλκώσεων
οὐσῶν ποιεῖ τὸ ἔντερον· μαλάχης δὲ χυλὸς καὶ ἀφέψημα
ἐπὶ μακρῶν στρόφων· καὶ φλεγμονῶν πρὸς τὰ ἔντερα· καὶ
ὕδρας οἷς πάσχουσι· μελίκρατον, ὅλα ἀναπαθῆ τὰ
μόρια· δυσμάλακτον δὲ τὸ κόπριον· οἴνῳ δὲ καὶ ἐλαίῳ· ἢ χυ
λῷ τεύτλου σάνης· ἢ μαλάχης κλύζομεν τοὺς ὀπισθοτόνους μανικῶν
ἐλκόφθαρτος οἷον μετὰ ῥοδίνου· καὶ λεκύθων ᾠῶν θερμῶν·
ἢ ῥόδινον ἀναφεψημένον ἐπὶ τῶν τεινεσμωδῶς ὀχλουμένων
ἐν ἀρχαῖς· ὑδρόμελι δὲ ἢ φακῆς ἀφέψημα μετὰ μέλιτος
ἐν ἴσῳ· ἢ ὀρόβου ὁμοίως· ἢ πτισάνης χυλὸν μετὰ ῥοδίνου
ἀποστήματα ῥαγέντα τῶν κοιλιῶν· μεῖζον δὲ τῶν ἐνιέμενων
τὸ πλεῖστον κοτύλαι τρεῖς· τὸ δὲ ἔλαττον μία· τὸ δὲ μέσον δύο·
πολλάκις δὲ καὶ δὶς ἐνιέναι καὶ τρίς· καὶ μάλιστα ἀφ' ὧν ἀλγοῦ
σι καὶ φλεγμονή, πρὸς τὸ ἀπαυθυσμένον ὑπάρχουσα· ἐπεὶ
χθὲς δὲ τὰ ὑποβεβρεγμένα σκύβαλα· τοῖς δὲ διὰ μέσου χρώμα
τα ἐπιτείχισθέντων· καὶ ὀρθοπνοϊκῶν, μὴ ἀπὸ στομάχου
θλιβομένου τοῦ πνεύματος κλυστῆρος αἱματώδους :—
ἄλλο ὀνυχοφόροι δὲ οἱ αἱματώδεις· οἷς τὸ στεατώδες
σίδηρου· ἅλμη· καὶ θάλασσα ὅτι δὲ καὶ σκευασός τοιῶσδε·
μέγιστος κοτύλης ἥμισυ· ὁ δὲ ἔλαττος κοτύλης δύο· ἄλλων ὀλίγαις τρισί· ἑκαί
ου κοτύλης τέταρτον· πρὸς ἁπλᾶ κλυστῆρι δὲ λίνον, καὶ ὠὰ δύο :—
τοῖς δὲ τοὺς θανασίμους μύκητας φαγοῦσιν ἐν ἴσῃ λήψει νίτρον καὶ
ἀψίνθιον· καὶ ῥαφάνου χυλός· καὶ πηγάνου ἀφέψημα :—
τοῖς δὲ ἀσκαρίδας γεννῶσιν ἅλμην, ἢ κενταυρίου ἀφέψημα·
ἢ ἀψίνθιον· ἢ θέρμων· ἢ ἀλόης· ἢ κασσίας μετ' οἴνου τῶν ἀφε
ψημάτων· ἁρμοῖ δὲ ἡ πικρὰ ὁ χυλὸς τῆς κνιδώδους βοτάνης πι
νόμενος ἡμέρας τρεῖς ὅσον τέταρτον ξέστου· πολλάκις δὲ τὸ δέον

ἢ σκευάζεται
: μόνη

κώνειον. ἐπειδὴ παραλύσει ἀπαθοῦς μένουσι ἐντὸς, ἄμεινον σολανὸν καλοῦσι. Τοῖς δὲ ἡμῖν θεραπεύουσι θερμὸν ἀφέψημα καὶ ἀπόφραγμα καὶ ῥοῦν καὶ ἄμεινον.

Τινὰς μὲν δὲ καὶ οἱ δὲ προθυμίαις ὑποβάλλουσι, ἄμεινον ὀλίγον. ἀκρατήτῳ δὲ αἵματος ῥύσει δι' ἕλκωσιν ἐντὸς. πολυγόνου χυλὸς ἢ ἀρνογλώσσου. καὶ μύρτων μελάνων ἐν οἴνῳ ἑψηθέντων πρὸς μιγνυμένων δὲ ἐπὶ τῶν προειρημένων καὶ λίβανον. καὶ ἀκακίας καὶ ὑποκυστίδος. καὶ σίδια. καὶ στυπτηρία. ἑλκώδεσι δὲ ἐντὸς χαραματίσμοις, γάλα ἐνιέσθαι ἄμεινον. καὶ ῥόδον. καὶ λύκιον ὕδωρ καὶ γλυκὺ ἐπὶ τοῦ αὐτοῦ. ῥαγαδιζομένοις δὲ καὶ πλεονάζουσι θεραπευθεῖσι χάρτου κατακαυμένου. καὶ σχίνου τέφρα. καὶ τὸ διὰ χάρτου καταθύματος καὶ ἀφεψήματος τῶν στυφόντων.

## Περὶ βαλανείων. κδʹ

Χρώμεθα δὲ πολλάκις βαλανείοις, σκυβάλων ἐκκρίσει ἐνακ- καὶ ἀφθόνως τὸ ἐναχθὲν δὲ καλοῦσι ξηρὸς, οὐκ ἐκκρινεῖ. πλεονάζουσι δὲ βαλανεῖα ἀξάλος ὁ πλεῖστος καὶ μέγιστος καὶ νίτρου. καὶ θύμος δὲ ἐλαίῳ ἀπεφρισμένῳ μέγιστον ὠφελεῖ. πλεονάζει δὲ καὶ ἐκκρίσει τὴν κοιλίαν βινθίνης καὶ νίτρου, καὶ πολλὴ καὶ κόκκου κνιδίου σπέρματος. διήκει δὲ αἰθέρι. διὸ χρηστέον λαμβάνειν ἐλαίῳ. αἴτιον δὲ καὶ τὸ πυρὰ [illegible] περὶ ἐλαίῳ [illegible] ἀπλανῆ [illegible] παραλυτικοῖς. [illegible] ὑπὸ [illegible] κενταύριον δὲ [illegible] παραπλανᾶται [illegible] ἐστὶν ἀπιλεῖον παράστασιν αἰδοῖου. ἐπὶ δὲ τῶν νηπίων καὶ χόνδρος [illegible] ἀναπλάσσεσθαι δὲ καὶ σύκινον μετὰ νίτρου καὶ κυμίνου.

## Περὶ τῶν καταρροϊκῶν τῆς κεφαλῆς.

Τοὺς ἐν τῇ κεφαλῇ χυμοὺς διὰ τῶν πτυσμάτων κενοῦντες [illegible] χαʹ
ἐπὶ βραχὺ τοῦτο πρᾶξαι βουληθείης, ἀναμιγνύντων [illegible] πέπερι. πλεῖον δὲ κενῶσαι βουλόμενοι, πύρεθρον καὶ σταφίδα ἀγρίαν μασᾶσθαι κελεύομεν. καὶ ἀνεμώνης δὲ πᾶσα ῥίζα διαμασωμένη, φλέγμα προσκαλεῖται. καὶ κάππαρις τῆς ῥίζης ὁ φλοιός. ὀρρώδουν μέν οὖν περὶ ἀφέψημα διὰ τῶν τοιούτων

Δ πταρμὸν Paul. l. 7 σπέρμιον Paul

κενοῦται· τὸ παχὺ δὲ καὶ φλεγματῶδες ἀνακαθαίρει χυλιζόμενον
νάπυ μετὰ ὀξυμέλιτος· ἢ σαίρεον ὀρίγανον· ἢ ὕσσωπον
ἀφεψημένον· ἀτὰρ δὲ καὶ γνωματείων μετὰ ὀξυμέλιτος να-
πυϊ· ἤδη δὲ καὶ ἀπομύξεις ἐκκαθαίρεσθαι δεῖ τὸν ἐγκέφαλον,
προσάγοντες αὐτῷ, ἐρεθίζοντες φαρμάκοις δριμυτάτοις·
ὧν ἔνια καὶ πλασμίνου χυλός· καθαίρει γοῦν ἰσχυρῶς ῥινὸς ἀνα-
μελίτος ἀναληφθεὶς ὁ χυλός· ἀνεμώνης τε πάσης καὶ τεύτλου χυ-
λὸς καὶ συκῆς· ἀγρίου φύλλων ὁ χυλὸς ἐγχεόμενος ταῖς ῥισίν· αὐ-
τός τε καθ᾽ ἑαυτὸν μετὰ τῶν ἄλλων ἀφεψήματι ἢ χυλοῦ· πταρ-
μὸς δὲ ἐπὶ τοῖς ὠμοῖς χυμοῖς τοῖς κατὰ θώρακα καὶ πνεύμονα
καὶ κεφαλὴν μάλιστα ποιεῖ ἰσχομένοις· χοῖρε φύρει· δὲ κάχρυ στό-
ματος τοιοῦτον δε· σάπωνα δὲ εἰς τοῦ τεύτλου χυλῷ χρίσαντα καλα-
μὸν οὐρανίσκου καὶ τὸν κίονα· καὶ ἐκτενῶς ποιεῖ· τὸ δὲ αὐτὸ καὶ ἐ-
κεῖνον ἐστίν· ἀπορίσω δὲ πολλάκις ἐχρησάμην ἐγχεομένῳ
τῇ ῥινὶ μελανθίῳ· ποτὲ δὲ ὄξει ῥινὶ βραχὺν πρὸ μιᾶς ἡμέ-
ρας λεῖον ὕδατι αἰμωδῆ ἐν ὄξει παλινλειῶν καὶ ἐγχέων τῇ ῥινί·
ἐνίοτε δὲ ἐλαίῳ παλαιῷ, τὸ αὐτό, μελάνθιον λειῶν καὶ ὁμοί-
ως μαι· οὕτως γοῦν χρῆται αὐτῷ καὶ ὁ ἀρχιγένης ~~ἐμ~~ ἐπὶ ἐμ-
φράξεων μυκτήρων· τὸ δὲ πρὸ τούτων δῶρα τοῦ ὄξους, κρεῖττον ἐπὶ
τῶν ἰκτερικῶν·—

ὅσα ἐμμηνῶν ἀγωγά·—

κβ΄ τὰ διουρητικὰ πάντα· κράμβης ῥίζης τὸ ἀφέψημα πινό-
μενον· πρὸς ... ῥίζα· καὶ πήγανον· καὶ χρυσάνθεμον· καὶ
δίκταμον· καὶ ἀζωμένου ... · κινεῖ δὲ καὶ τὰ προσθετά
τῷ στόματι τῆς ὑστέρας προσφερόμενα· ὡς πρὸς τὸ πήγανον λεῖον
μετὰ μέλιτος· ἢ ἀνήθου τῆς ῥίζης κατακαυμένης· ἢ σπονδύλιον
μετὰ μέλιτος· ἢ πράσου χυλοῦ· ἢ σπορὸς χλόου προστιθέ-
μενος· ἢ σμύρνα λεία· καὶ ἐν οἴνῳ· ἢ λαγωῶν πιτύα·—

ἱδρωτικά

κγ΄ τῶν ἱδρωτικῶν ἐστίν, χαμαίμηλον ξηρὸν λεῖον, ἐπιπασσό-
μενον ἐλαίῳ τῆς ἐπιφανείας τοῖς ὅλοις ὡς ἀναξιβομένης· σαόδε.

ευ

□ Ἑρμῆ Paul.

πύρεθρον· καὶ χρυ· ἄνικσον· ὅμοιοι ἐν ἐπιπλασσόμενα ἐλαίῳ·
νίτρον ὀπτόν· καὶ πάνυ λεπτὸν σὺν τῷ ἐλαίῳ· ἄλλος αὐθος
σὺν κηρῷ ἀνεμιγμένον ἐλαίῳ· ὁ πὸς πυρηναῖος ὕδατι διαλυθεὶς
ἐστὶν ἀναξηραντικὸν τοῦ σώματος.~

## περὶ ἀέρων χδʹ

Ἄριστος ἀήρ ἐστιν, ὁ ἀκριβῶς καθαρός· ἧκιστα δὲ οὗτος, ὁ μήτε ἐκ λιμνῶν ἢ ἑλῶν ἀναθυμιάσεσιν ἐπιθολούμενος· μήτε ἐκ τινος βαράθρου δηλητήριον αὔραν ἀναπέμποντος· οὕτω καὶ ὅστις ἐκ τινος ὀχετοῦ τῶν ἐκκαθαιρόντων μεγάλην πόλιν ἐπιθολοῦται, μοχθηρός ἐστιν· καὶ μὴν ὅστις ὁμιχλώδης, οὐκ ἀγαθός ἐστιν· ὥσπερ δὲ καὶ ὅστις ἐν κοίλῳ χωρίῳ πανταχόθεν ὄρεσιν ὑψηλοῖς περιεχόμενος, μηδεμίαν αὔραν δέχεται.~

## περὶ πυριάσεων χεʹ

Ἀραιοῦν πεφύκασιν αἱ πυρίαι τὸ δέρμα· καὶ αὐτοῦ κατὰ πνα σὺν ὀξ-
γαλίζεσθαι· καὶ τὸ κατὰ φλεγμονὴν αἷμα λεπτύνουσι καὶ διαφο-
ροῦσι· καὶ ἐπαιρόμενα τοῖς ἔχει· καθόλου τὸ σῶμα πλέον ἐπὶ
τὸ θερμαινόμενον μέρος ἐκκενωθήσεται τοῦ διαφορουμένου. καὶ
χρὴ πρὸ τῶν πυριάσεων κενοῦν τὸ ὅλον σῶμα· αἱ μὲν οὖν ὑ-
γραὶ πυρίαι φλεγμοναῖς ἁρμόττουσιν· ὑποχολώδεσι δὲ χυ·
[illegible]· αἱ δὲ ξηραὶ ταῖς τε ὑπὸ λεπτοῦ καὶ ὑδατώδους αἵματος.
αἱ μὲν ἄδηκτοι πυρίαι τοῖς δακνώδεσιν ἁρμόττουσι χυμοῖς·
αἱ δὲ δακνώδεις, ἐπιτηδειότεραι ταῖς παχέσι καὶ γλίσχροις.
καὶ θερμαίνουσα δὲ ὑποχόνδρια ἀσωνήσασιν ἢ κατὰ πλατ-
μασιν, οὐκ ἔστι παντὸς ἀσφαλές· ἀλλὰ περὶ ἐκείνων μόνον τῶν
ἐρρωμένων ἐφ᾽ ὧν οὐδέν ἐστι περὶ τὸν ὅλον τῷ σώματι· τοῖς
δὲ ἄλλοις ἅπασι κακὸν μάλιστα· καὶ ἐν ἀρχαῖς δὲ φερόμενον
ἐπὶ τῶν ῥευμάτων· ἐπὶ τὸ πεπονθὸς, ἀποκρούεσθαι βέλ-
τιόν ἐστιν· ἔστι δὲ τὰ φερ. παυσαμένου τῶν ἀποκρουστικῶν· ἢ
τεθλιμμένη πύκνωσις τοῖς πεπονθόσι κατὰ τὸ παχύτερον
καιρὸς ἤδη χαλᾶν ὑποβλουκηνῶσαι τὰ περιεχόμενα· μά-
λιστα δὲ ὅταν εἰς ὑπὸ ῥῆ γαστέρα καταστῇ πληγὰ περὶ τελοῖς

6. 11

σύμφορον εἰ καταχρῆσθαι· κύρια γὰρ τὰ μόρια· καὶ ἀπὸ τούτων καιρὸς
ἤδη διαφορεῖν, τὰ στηριχθέντα· καὶ τότε δέ χρὴ συμφέρεσθαι τὰ
μόρια ταῦτα· ὥστε ἀφεψηθέντα ἀψίνθιον, ἐλαίῳ οἰνανθίνῳ·
ἢ μηλίνῳ· ἢ σχοινίνῳ· ἢ μαστιχίνῳ· ὡσαύτως δὲ καὶ κατα-
πλάσματα σύνθετα ἐκ τῶν τοιούτων ἄμεινον· ἀπὸ τῆς χα-
λαστικῆς, λεπτομεροῦς καὶ πικρᾶς· καὶ συμφέρουσι· κωλύουσι
παρόντος, ἢ τῶν ἄλλων ἐντέρων· ἢ τῶν καθυποχονδρίων
μυῶν· ἢ περιτοναίου, μὴ πλέον οὖσα μετὰ ταῦτα σύμφορα·
καθάπερ οὐδὲ κύστει· ἢ μήτρας· ὅταν ὡς εἴρηται μὴ τὰ ἐπιρ-
ρέομεν δύναται· μὴ τὸ πλῆθος περιττὸν ἐν ὅλῳ τῷ σώμα-
τι· καὶ σικύαις δὲ προκενωθέντος τοῦ ὅλου σώματος, χρησόμε-
θα οὐκ ἐν ἀρχῇ τῶν παθῶν:—

περὶ καταπλασμάτων

κϛ' Εἰς τὰ χαλάσαι τὰ συνεστῶτα, καὶ ἐκλῆξαι ἱκανώτατον τὸ ἀπὸ πλάσ-
ματος τοῦτο· καὶ σκόλοπας ἐξάλλει καὶ σκίρρους ὠφελεῖ· καὶ θλάσμα-
τα τὰ ἐν πτήμασι· διαλυομένων σύμμαλαγμα τὴν αὐτάρκως
ἐλαίῳ· καὶ χρῆσθαι αὐτῷ· σφοδρότερον δὲ βουλόμενον ποι-
εῖν αὐτό, νίτρον προσμίξεις σύμμετρον· τὸ δὲ καὶ ὁ ἐξ ἰσχάδων
σες τὴν ζύμην καὶ ἐπιθεὶς παχύνεις· ἐπιτηδειότατον ἐστὶ
πρὸς τοὺς ἐν σπλῆνι καὶ ἥπατι σκίρρους· τὸ δὲ καὶ θύμον καὶ τὴν
χαμαὶ πίτυν καὶ ἀψίνθιον μίξαις τῇ ζύμῃ, κάλλιστον ποιήσαις φάρ-
μακον· σίκυα δὲ λίτρα ἀμαλακὸ πλείω τὰ σπέρμα-
τα· ὡς μὴ δ' ὅτι οὖν ὀρθὸν ἀφίεσθαι μέρος· καὶ τοῦ μὴ τῶν
μύρου ἰρίνου βραχύ· ποιεῖ δὲ πρὸς τὰς σκληρότητας τῶν ἀρ-
θρῶν καὶ τὰς ἀγκυλώσεις τῶν ἄρθρων· καὶ τὰ περὶ μαζοὺς ἐντάσεις
καὶ πρὸς σκίρρους μάλιστα τῶν σπληνῶν καὶ ἥπατος· πρὸς
βαλὼν δὲ νίτρον ὀλίγον, ῥύπου κόλπον· καὶ σκόλοπα ἀνάγει· τὸ δὲ
μίξας τοῖς σύκοις οὕτω πεποιημένοις τῆς λινόσπερμον ἢ ὀριγάνου·
ἢ θυμβροπώλιον· ἢ ἀψίνθιον λεπτολογήσας· ὑδρωπι-
κοῖς ἁρμόζει· ἀρκεῖ ἐψηθεῖσι δὲ τοῖς σύκοις ἱκανῶς, ὡς διακε-
χύσθαι:

δύναται — ἢ λεκωθεῖσιν, εἴτε πάλιν μεθ' ὕδατος, ἐν ᾧ ἑψήθησαν· μὴ
γνύα(?) κρίθινον ἄλευρον ἢ πύρινον· καὶ αὖθις εἴτε μετ' ὀξυ[illegible]
σαστε· ἁρμόζει δὲ φύμασι τοῖς μὴ ῥᾳδίως πεπαινομένοις·
εἰ δὲ βούλει λίπος ἐμβαλεῖν, βούτυρον μίγνυε· εἰ δὲ πυτιὰν ἢ φύλ-
λα ξηρὰ ἑψηθέντα ἀναμιχθείη, καὶ ἐν ἄλλοις ἐντέροις ὀδύνας ἀπὸ
τοῦ πνεύματος γινομένας ὀνίνησι· καὶ κύμινον ὁμοίως μίγνυσθαι βέλτιον:

## περὶ λουτρῶν. κζ

Ἐπαινοῦσι τὴν ψυχρολουσίαν· ἐγὼ φημὶ δεῖν ἐμφέρειν(?) αὐτήν, τοῖς
τοῖς προστυχοῦσι διαιτωμένοις· ἀλλὰ μόνοις τοῖς ἀκριβῶς βιοῦσι
καὶ πόνοις καὶ σιτίοις κατὰ τὸ ἁρμόττον χρωμένοις· ἀλλ' ἐπειδὴ τοῖς
πολλοῖς δοκουμένοις πολὺ τετυχηκέναι(?) μειζόνως ἐννήξασθαι
ψυχροῖς θέρους ὡραίους ὕδασι καὶ αὐστηροῖς· καὶ προσκαθεζο-
μένους ὕδασι ἐνιᾶσιν· ἔστωσαν δὲ μὴ μετὰ ἀφροδισίοις· μηδὲ ὅλ-
λως κοπωθέντες· μηδὲ ἄπεπτοι καὶ ἐμημεκότες· ἢ κατὰ γαστέρα
κεκενωμένοι· μηδὲ ἐγγὺς πυρεκτῶν· σφαλερὸν δὲ εἰ ἄλλως τις
χρῷτο· τὸ δὲ θερμὸν λουτρὸν πραΰνον(?) ἐστὶ καὶ ἀσφαλέστερον· κό-
πους λύον· καὶ διαφοροῦν πληθώρας· καὶ ἐκθερμαῖνον· περὶ
τοροῦν τε καὶ ἐκμαλάττον· καὶ πνεῦμα διαχέον, ἐνθάδε [illegible] καὶ
ὑπνοποιόν, καὶ ὕβρισ(?) παρέχον· ἔστι δὲ καὶ αὐτὸ μάλα χρήσιμον
παντὶ· καὶ ἀνδρὶ· καὶ γυναικὶ· καὶ παιδίῳ· καὶ πρεσβύτῃ· καὶ ἰδιώτῃ:

## περὶ ἐξ ἐπιτηδεύσεως λουτρῶν. κη

Τὰ ἐξ ἐπιτηδεύσεως λουτρὰ θερμαίνοντα μὲν παρασκευάζομεν· ἢ
ψύξιν παῦσαι βουλόμενοι· ἢ λῦσαι κόπον· ἢ σπασμὸν πα-
ραμυθήσασθαι καὶ ἀλγήματα· καὶ ἀναθρέψαι ἔνακρα(?)· γίνεται
δὲ θερμαίνοντα ὕδατα γλήχωνος ἑψηθέντος, ἢ ὀριγάνου· ἢ ὑσσώ-
που· ἢ θύμου· ἢ θύμβρας· ἢ δάφνης φύλλων· ἢ πυρέθρου ῥίζης
καὶ τὰ παραπλήσια· ἐμβαλοῦμεν δὲ καὶ ἔλαιον· διαφορη-
τικὸν δὲ ποιοῦντες ἰσχναίνειν βουλόμενοι πᾶν τὸ σῶμα· γίνεται δὲ
διαφορητικὸν· ἢ ἅλας ἐμβαλλόντων· ἢ αὐτὴν τὴν θάλασσαν·
ἢ νίτρον· καὶ μάλιστα δὲ μιγνυμένου διαφορητικοῦ παντὸς ὕδωρ· καὶ κλίμ

τέφρα, ἢ ὀρχιπεδίων ἀφέψημα. μαλάξεως δὲ χάριν ἐπὶ
φλεγμονῆς καὶ σκληρίας, ἐπί γε αὐτῶν τῶν φλεγμαινόντων μαλακτικὸν
ἀφέψημα ἐμβαλοῦμεν· καὶ λινόσπερμον καὶ τήλεως· ἀπὸ δὲ
τῶν ῥαγματικῶν φλεγμονῶν, ἀρνόγλωσσον ἢ πολυγόνου ἐγ-
καθέψοντες· ἢ σιδίων· ἢ ῥόδων· ἢ βάτων ἄκρα. ἐπὶ δὲ τῶν
μὴ προσδοκώντων, χρώμεθα καὶ τοῖς ἐπὶ τῶν χωρὶς ῥα-
γμάτων φλεγμονῶν· μάλιστα δὲ ὀνίνησιν ὑδρέλαιον· μαλα-
κτικὸν καὶ τήλεως καθεψομένης. ἐπὶ δὲ σκληρίας χωρὶς φλεγ-
μονῆς τοῖς αὐτοῖς χρώμεθα τοῖς ἐπὶ τῶν διαφορήσεων
δεομένων. ψυχρὰ δὲ καὶ συμφέρουσι τὰς συμφύσεις καὶ ψυχούσας ὅ-
λας ἔχοντα.

Τῶν αὐτοφυῶν λουτρῶν, τὰ μέν ἐστι νιτρώδη· τὰ δὲ ἁλμυρά· τὰ δὲ
στυπτηριώδη· τὰ δὲ θειώδη· τὰ δὲ ἀσφαλτώδη· τὰ δὲ χαλκαν-
θώδη· τὰ δὲ σιδηρίζοντα· τὰ δὲ σύνθετα ἐκ τούτων πάν-
των. κοινῇ μὲν οὖν τῶν αὐτοφυῶν ὑδάτων ἡ δύναμίς ἐστι θερμαν-
τικὴ καὶ ξηραντικὴ ἐπίπαν· καὶ μάλιστα ἁρμόζει τοῖς ὑγρο-
τέροις καὶ ψυχροτέροις. ἰδίᾳ δὲ καὶ τὰ νιτρώδη καὶ ἅλας ἔχοντα
κεφαλὴν καταλλήλως· ἢ θώρακι ῥευματιζομένῳ· καὶ στομάχῳ
καθύγρῳ· καὶ ὑδρωπικοῖς. τὰ δὲ στυπτηριώδη αἵματος ἀναγω-
γαῖς· καὶ ἀμελετήτως στομάχῳ· καὶ γυναιξὶν ἀτάκτως καθαιρομέ-
ναις· καὶ συνεχῶς ἐκτιτρωσκούσαις. τὰ θειώδη δὲ νεύρων
μαλακτικὰ καὶ σκαλυτικὰ πόνων παρηγορητικά· στομά-
χου δὲ ἐκθηλυντικὰ καὶ ἀνατρεπτικά. τὰ δὲ ἀσφαλτώδη, κεφα-
λήν τε ἐμπληροῖ· καὶ τὰ αἰσθητήρια κακοῖ· θερμαίνει δ'
ἐμμενόντως· καὶ μᾶλλον τῷ χρόνῳ. τὰ δὲ χαλκανθίζοντα,
στόματι καὶ παρισθμίοις καὶ σταφυλῇ καὶ ὄμμασι διαφερόν-
τως ἐπιτήδεια. ὁμοίως καὶ τὰ σιδηρίζοντα στομάχῳ καὶ
σπληνὶ χρήσιμα. διὰ δὲ τὰς ἐκ τοῦ ὕδατος ἐμβάσεις· ἀθρό-
ως ποιεῖσθαι· ὅπως ἡ δύναμις ἀνιεμένη τῷ σώματι προσ-
οῦσα μὴ καταδύηται.

δρώπαξ τοῖς χρονίοις μάλιστα νοσήμασιν ἁρμόττει. δεῖ δὲ
μαλάττεσθαι ὑπὸ τῆς τοῦ θερμαίνειν παρεῖναι τούτοις πύρεθρον.
καὶ χαλβάνην. ἀσφάλτου. τὰ δὲ ξηραίνοντα δὲ ἐστι· ἄπυρον ἅλας. τὰ δὲ
κλιματίδα. τὰ δὲ ἀμύξαι λιμνῆτιν εὐφόρβιον: περὶ σιναπισμοῦ κθ
Καὶ ὁ σιναπισμὸς, σφοδρότατος ὢν τοῦ δρώπακος, τοῖς χρονί-
οις πάθεσιν ἁρμόττει. δεῖ δὲ αὐτῷ χρῆσθαι ἐπὶ τῶν ἀρτίως
ἀναισθήτως ἢ ἀμαυρῶν μερῶν τῶν κατὰ σχῆμα ἢ δυσαισθή-
των βίαι. μάλιστα δὲ καὶ ἰσχίου ὡς ἔσωθεν ἀναθήλασαι μὲν ἰσχυρῶς
τὸν κάμνοντα. μηχανᾶσθαι δὲ τῷ σχήματι ἐνεῖσθαι. καὶ
[illegible] τοῖς ποσὶ. καὶ μετὰ λουτρὸν φυλάττεσθαι πρᾶος τὸ δὲ
μα. ἐπὶ δὲ τῶν ἐναισθήτων διαθέσεων μερῶν, πρᾶος χρῆ-
σθαι τῷ νάπυϊ. μᾶλλον ποιουμένους τόπους δὲ ἐρυθροτέραν
[illegible] τῶν σαρκῶν. σκευασία δὲ τοῦ νάπυος τοιαύτη ἐστί. πρὸ
μιᾶς ἡμέρας τὰς ἰσχάδας χρὴ ὕδατι ἀποβρέξαντι χλια-
ρῷ. καὶ τῇ ἑξῆς λειοῦν ἀποθλίψαντα. ἰσχυρῶς αὐτὰ
λεαίνειν. ἔπειτα τρίβειν νάπυ λαβόντες, ὁποῖον ἐστὶ τὸ σουρικ-
κὸν ἢ τὸ αἰγύπτιον τρίβειν καὶ ὅταν προσλάβῃ καὶ ὀλίγον τοῦ
ἀποβρέγματος. ἔπειτα μάξαι ποιεῖ. τῷ μὲν τῶν ἰσχάδων,
τῷ δὲ τοῦ νάπυος. ἔπειτα μιγνύειν. εἰ δὲ σφοδρῶς βουλόμεθα
σιναπίζειν, δύο μέρη τοῦ νάπυος πρὸς ἓν τῶν ἰσχάδων. εἰ δὲ
μετρίως, ἴσον ἑκατέρου. εἰ δὲ ἀνειμένως, τὸ μὲν τοῦ νάπυος τρί-
τον, τὸ δὲ τῶν ἰσχάδων δίμοιρον. κατὰ δὲ τὴν ὥραν τοῦ λουτροῦ
χρῆσθαι ἀνόδυνως σφοδρᾶ ἢ καὶ ἄραιος ἢ φλύκταιναι, ὁ
θαλλὸν βρέξαντα εἰς ὑδροροδινον, ἐπιθήσομεν τὸ δὲ ὕδωρ.
ἔσω μαλάχης ἀπόζεμα. ἢ χυλὸς τήλεως. καὶ μετὰ
ταῦτα κηρωτῇ, ῥοδίνῃ μετὰ ψιμμιθίου χρησόμεθα. γνωστέ-
ον δὲ ὅτι τὸ ξηρὸν νάπυ ἐμβραχὲν, ἀμυδρότερον ἔσται τὸ κατά-
πλασμα. αἴτιον δὲ σφύραθοι μετὰ ὄξους καταπλασσό-
μεθα ἀνύσιμα τὰ αἴτια τοῦ νάπυος. μάλιστα δὲ ἰδίως ἐπὶ
τῶν ἰσχιαδικῶν ποιοῦσιν ἀήττως:

περὶ ἐλαίου ἐμβάσεως

λʹ αἱ δὲ εἰς ἔλαιον ἐμβάσεις ἐπιτήδειοι τοῖς χρονίως μετὰ περιψύξεως πυρέττουσι καὶ τοῖς κεκοπωμένοις, καὶ ἰσχουροῦσι· δεῖ δὲ τὸ ἐμπιπλάμενον μέρος τοῦ ἐλαίου προθερμαίνειν. τὸ δὲ λοιπὸν ἐν ταῖς τῶν βαλανείων ἐμβάσεσιν· αὐτάρκως γὰρ θερμαίνεται συγγινόμενον ἐν τοῖς βαλανείοις.

περὶ ὑδρελαίου

~~περὶ ἐλαίου ἐμβάσεως~~

~~λβʹ~~ λαʹ αἱ δὲ εἰς ὑδρέλαιον καθιέμενοι, ὥσπερ ἀνδράσι ἐνδεχόμενοι τῆς ἀνωφελοῦς ἐμβάσεως βαδίζουσιν· ἀναμίγνυσθαι δεῖ τὸ ἔλαιον ἀκριβῶς τῷ ὕδατι· ἔστω δὲ μὴ ἔλαττον τοῦ ὕδατος. λαʹ

περὶ τῶν μετὰ περὶ ὑδρελαίου συγκριτικῶν βοηθημάτων. λβʹ

~~λγʹ~~ λβʹ πάντων τῶν ἐπὶ πλεῖστον χρονιζόντων πασῶν, ὅταν μηδὲν ἀνύῃ τὰ βοηθήματα, τὰ μετὰ συγκριτικῶν ὑπὸ τῶν μεθοδικῶν ὀνομαζομένη θεραπεία, ἅπαντα σχεδὸν εἰώθασι ποιεῖσθαι. ἔστωσαν δὲ ἀφ' ὧν ἤτοι ταῖς κρασίαις ὑγρὰ καὶ ψυχρὰ τοῖς πάσχουσι μορίοις· ἔστι δὲ τὰ νάπυος καὶ θαψίας καὶ τὰ ὅμοια αὐτοῖς προσφέρειν φάρμακα· ταῖς ξηραῖς δὲ καὶ θερμαῖς οὐ προσφέρω. πολλάκις δὲ οὐκ ἀνύουσι, τὸ δὲ ἐκ τοῦ διαγινώσκοντα τὰς δυσκαθέκτους, ὅτι τοῖς πλείστοις τῶν ἀνθρώπων αἱ ψυχραὶ καὶ ὑγραὶ δυσκαθέκτους ἐνοχλοῦσι κοχθηρῶς διαιτωμένοις.

ὅσα φοινίσσει

λγʹ δρῶπαξ μὲν τὸ δέρμα φοινίσσει καὶ θερμαίνει, καθάπερ τὸ νᾶπυ ἢ ἀνίσου ῥίζα ὁμοίως τῇ κόπρῳ τῶν νομάδων περιστερῶν, πάνυ σφοδρῶς χρώμεθα· καὶ μετὰ καρδάμου δὲ τὸ δέρμα τῆς κεκομμένης ἀντὶ νάπυος χρῶμαι· ἐπὶ ἰσχιάδος καὶ ἡμικρανίας· σκοτωματικοῖς καὶ κεφαλαίαις· καὶ κατὰ πλευρὰς· ἢ ὠμοπλατῶν, ἢ πιεζόντων ἢ χρόας ἀλλοιωμάτων χρονίων· καὶ πρὸς τούτοις, ἐπὶ νεφριτικῶν· καὶ κωλικῶν διαθέσεων· καὶ ποδαγρικῶν· καὶ ἀρθριτικῶν· ὅταν μηδὲ πῶς οὔσαις ἢ πόρων.

αʹ ὅσα μετὰ τῶν θερμαινόντων καὶ ψυχόντων βʹ ὅσα θερμαίνει.

γʹ ὅσα θερμαίνει πρῶτον ἀποστάσει δʹ ὅσα θερμαίνει διαλύσας.

ε ὅσα θερμαίνει τῆς· ϛ ὅσα θερμαίνει ἄλλ[ο]τρίως τῆς· ζ ὅσα ψύχει μάλιστα·
η ὅσα ψύχει δευτέρως· θ ὅσα ψύχει τρίτως· ι ὅσα ψύχει τετάρτως·
ια ὅσα ξηραίνουσιν ἀδήκτως· ιβ ὅσα ἁπλῶς ξηραίνουσιν· ιγ ὅσα ξηραίνουσι δευτέρως·
ιδ ὅσα ξηραίνει τρίτως· ιε ὅσα ξηραίνουσι τετάρτως· ιϛ ὅσα μετὰ τῶν
ιζ ξηραινόντων καὶ ὑγραινόντων ἐστί· ιη ὅσα ὑγραίνει πρώτως ἀποστάσει·
ιθ ὅσα ὑγραίνει δευτέρας· κ ὅσα ὑδατώδη καὶ ψυχρότητα ἔχει·
κα ὅσα λεπτομερῆ· κβ ὅσα παχυμερῆ· κγ ὅσα ῥωστικά·
κδ ὅσα συμπεπτικά· κε ὅσα ἐκποιητικά· κϛ ὅσα μαλακτικά·
κζ ὅσα σκληρύνει· κη ὅσα ὑγρασίαν ἕλκει ἐκ σώματος·
κθ ὅσα διακρίνουσιν αὐτά· λ ὅσα ἐμφρακτικὰ καὶ διακαθαρτικά·
λα ὅσα ῥύπτει· λβ ὅσα οὐρητικά· λγ ὅσα δι' οὔρων ἐκ σπληνὸς ἄγει·
λδ ὅσα ἐξ ἥπατος· λε ὅσα ἀπὸ νεφρῶν· λϛ ὅσα ἀναγωγὰ ἐκ θώρακος·
λζ ὅσα τοὺς νεφροὺς καθαίρει· λη ὅσα ἀραιωτικὰ τοῦ δέρματος·
λθ ὅσα ἀναστομωτικά· μ ὅσα πυκνωτικά· μα ὅσα σηπτικά
καὶ ἁπαλούς τε παιδαγωγοὺς καὶ τοὺς πρὸς γραμματιστὰς παρα-
διδόναι πραέσι καὶ φιλανθρώποις. οὗτοι γὰρ μετὰ ... καὶ
χαρᾶς διδάσκουσιν. καὶ ἡ ἄνεσις τῶν ψυχῶν εἰς αὔξησιν
σώματος μεγάλα συμβάλλεται. τοὺς δὲ δώδεκα ἐτῶν
τῶν παιδίων πρός τε γραμματικοὺς φοιτᾶν ἤδη καὶ γεω-
μέτρας, καὶ τὸ σῶμα γυμνάζειν ἀναγκαῖον. ἀπὸ δὲ τῶν
τεσσαρεσκαιδεκαετῶν μέχρι τῶν τριῶν ἑβδομάδων, ἁρμό-
σει μαθημάτων ἄσκησις, καὶ φιλοσόφων λόγων κατάχρη-
σις. καὶ γυμνάσια πλείονα παραλαμβάνειν διὰ τὴν ἰσχὺν
τοῦ σώματος. ὅπως καὶ ψυχὴ καὶ σώματι πονοῦντα, ταῖς
ὁρμαῖς κωλύωνται χρῆσθαι ταῖς εἰς ἀφροδίσια. συναιρε-
τέον δὲ καὶ τὸν οἶνον ἐπὶ τούτων. τοῖς δὲ ἀκμάζουσιν ἁρμό-
ζει δίαιτα τελεία καὶ ψυχῇ καὶ σώματι. διὸ καὶ γυμνασίοις
χρηστέον πᾶσι. μάλιστα δὲ οἷς ἕκαστος ἔθισται. καὶ τροφαῖς
ἱκαναῖς τρέφεσθαι. καὶ εὐτρόφοις. τοῖς δὲ παρακμάζουσιν ἁρ-
μόζει δίαιτα ὀφλημένη καὶ ψυχῆς καὶ σώματος. τὰ γὰρ γυμνά-
σια ὁποῖα πολλῶν ἦν κατὰ λόγον τοῦτον ὑφαιρετέον. καὶ
τὰς τροφὰς ἐν προαγωγῇ συσταλτέον. τῆς ἕξεως αὐτῶν ἀρχὴν
ψύξεως λαμβανούσης:~ περὶ κόπων τῶν ἐπιγινομένων. ιε
Ὁ ἑλκώδης κόπος ἐπὶ πλήθει γίνεται περιττωμάτων λεπτῶν
τε ἅμα καὶ δριμέων. ὁ δὲ τονώδης ἐν ᾧ τείνεσθαι δο-
κεῖ τὰ μόρια περίττωμα μὲν οὐδὲν ὅτι καὶ ἄξιον

ω. γρ. ὑφισταμένη

haec verba non agnoscit paulus
neque eius interpres

ἐνδείκνυται

λοιποῦ ἐκ τοῖς σώμασι· κατὰ δὲ τοὺς κόπους καὶ τὰ ναρ-
διαθέσεις τὰς ἐγγίνεσθαι· καθ' ἣν τείνεσθαι καὶ ἣν μηκέ-
τι τείνωνται· ὁ δὲ φλεγμονώδης καθ' ὃν ὡς πρὸς τὸ θλασμὴ·
ἢ φλεγμαινόντων αἰσθάνονται τῶν μορίων, τῶν ἱκανῶς
τε συμπεπλῆσθαι ἔσωθεν· ὅταν ἐκθερμανθῶσιν ἱκανῶς
οἱ μῦες ἐπισπάσωνταί τι τῶν περιεχομένων ἐν αὐτοῖς
περιττωμάτων· ἔστι δὲ καὶ ἄλλη διάθεσις τετάρτη· ἣν
ἡ μὲν τεινώδεις ἐν τῷ ξηρανθῆναι τοὺς μῦς περαιτέρω τοῦ
προσήκοντος· ὥστε τῶν πασχόντων αὐχμηρὸν καὶ προεσταλ-
μένον φαίνεσθαι τὸ σῶμα· καὶ πρὸς ταῦτα κινεῖσθαι ὀκ-
νεῖν· τὴν δὲ ἴασιν ὁμοίαν ἠκολούθως ὁ κόπος ἔχει τῇ διαχω-
ρήσει τῶν περιττωμάτων· δεῖται γὰρ πολλῆς καὶ
μαλακῆς τῆς ἐν ἐλαίῳ πολλῷ μὴ μίαν ἔχοντι στύψιν· ὁ δὲ
ἕτερος κόπος ὁ τονώδης τοῦ σκοποῦ τῆς ἰάσεως δεῖται,
τῆς χαλάσεως· χαλᾶται δὲ τὸ συντεταμένον, τρίψει μὲν
ὀλίγῃ τε ἅμα καὶ μαλακῇ δι' ἐλαίου γλυκέος ἀλιθεροῦς·
ἀναπαύσει δὲ πάσῃ καὶ ἡσυχίᾳ· καὶ λουτροῖς εὐκράτοις·
καὶ διατρίβειν πλέον κατὰ τὸ θερμὸν ὕδωρ· ὥστε καὶ εἰ δὶς
ἢ τρὶς αὐτοὺς λούσαις, ὀνήσεις μειζόνως· ὁ δὲ δὴ τρίτος
τῶν κόπων τῆς ἰάσεως, τρεῖς ἔχει σκοπούς· κένωσιν
τοῦ περιττοῦ καὶ ἀνάπαυσιν τοῦ συντεταμένου· καὶ ἀνάψυ-
ξιν τοῦ φλεγμονώδους· ἐλαίῳ τε ὄντι πολὺ χλιαρῷ·
αἰτεῖ τε μαλακῶς· καὶ ἐν τοῖς εὐκράτοις ὕδασι
διατρίβειν πολυχρονιωτέρως· τοὺς τοιούτους ἰᾶται κόπους
ἔτι δὲ καὶ ἡσυχία πολλή· καὶ τὰ ἀλείμματα συνεχῆ· ἡ δὲ
τετάρτη διάθεσις· δεῖται μὲν τῇ πρώτῃ ἡμέρᾳ οὐδενὸς
ἐξηλλαγμένου παρὰ τὸ πρόσθεν· ὅτι μὴ θερμοτέρου τοῦ
ἐλαίου· ὡς συναγαγεῖν ἅμα καὶ τονῶσαι τὸ δέρμα·
κατὰ δὲ δευτέραν ἀπὸ θεραπευτικοῦ γυμνασίου, ἐκ-
πηδᾶν τὰ αὐτίκα ἐν τοῖς λουτροῖς· ἐκ τῆς ψυχρᾶς

δεξαμενῆς. ἄχυμοι δὲ πάντες οἱ κοπούμενοι δέονται
τροφῆς:- περὶ στεγνώσεως:-

Ἡ δὲ στέγνωσις γίνεται μὲν δι' ἔμφραξιν. ἢ πύκνωσιν τῶν πόρων. ις
διαγινώσκεται δὲ εὐθὺς μετὰ ἀποδυσαμένων ἀχροίᾳ τε λευκῇ
καὶ σκληρότητι. καὶ πυκνώσει τοῦ δέρματος. καταψυχόμενοί
τε ταχέως δυσεκθέρμαντοι. ἡ ἴασις τῆς τοιαύτης διαθέσεως
θερμαντικοῖς ἐστί. σὺν τοῖς λουτροῖς σὺν γυμνασίοις χρηστέον. καὶ
βαλανείοις θερμοτέροις. ἐν ᾗ τῇ ψυχρᾷ κολυμβήθρᾳ δὲ
ἀξιοῦμεν μὴ πολυχρόνιος γενέσθω. μηδὲ αὐτὸ τὸ ὕδωρ ἄ-
γαν ἔστω ψυχρόν. ἐνδύεσθαι δὲ μέλλοντας, ἀλειφέσθωσαν
τινὶ τῶν μετρίως θερμαινόντων ἐλαίων. εἰ καὶ λεπτομερὲς εἴη.
τὰ τῆς πυκνώσεως τοῦ δέρματος ἱκανῶς ἰᾶται καὶ τὸ ἀνήθινον
ἔλαιον. καὶ μάλιστα τὸ χλωρὸν ἔχον τὸ ἄνηθον. καὶ τὸ αἰγείρινον
ἔλαιον:- περὶ τῶν αὐτομάτων κόπων:- ιζ

ἢ κακοχυμίαι. Ἐπειδὴ δὲ καὶ ~~κακοχυμίαι~~ γίνεται δριμέσι περιττώμασιν
ὁ ἑλκώδης κόπος. ἐὰν ὀλίγη παντάπασιν ἡ κακοχυμία
εἴη. γυμνάσιον ἀρκεῖ τὸ ἀποθεραπευτικόν. εἰ δὲ μεῖζον
καὶ διὰ βάθους. οὐκέτι τοιοῦτον. οὐδὲ ἐπὶ γυμνάσιον ἄξομεν.
οὔτε ἐπὶ κίνησιν ὅλως οὐδεμίαν. ἡσυχάζειν δὲ καὶ ὑπνώττειν
κελεύοντες, ἐν ἀσιτίᾳ φυλάξομεν ὅλην τὴν ἡμέραν ἐπιθεῖσ-
ασαν ἀλείφοντες λιπαρῶς ἐλαίῳ θερμῷ, τροφὴν ἄ-
χυμόν τε καὶ ῥοφηματώδη δώσομεν ὀλίγην. ἀφεξομένους
αὐτοὺς οὐδενός. πέττει γὰρ τοὺς ἡμιπέπτους χυμούς, ὅ-
περ ἐστὶν ἄλλο καὶ οἶνος. ὁμοίως ἐπὶ τοῖς εἰρημένοις καὶ λεπτὸς αἱ-
τὸ περίττωμα πρὸς τὰ σώματα. κατὰ τὸ λοιπὸν ἐπαναγεῖν
τὸν ἄνθρωπον. εἰ δὲ καὶ τὰ μετὰ ταῦτα ἐξῆς ἡμέραν εἴη πυρεσσόμενος, σκεπ-
τέον ἤδη περὶ βοηθήματος ἰσχυροτέρου. σὺν μὲν γὰρ τὴν ἰσχύρα δύνα-
μιν εἶναι θάλλουσαν, ἢ φλεβοτομεῖν οὐ σφαλερῶς. καθαίρειν δὲ μετρίως.
ἢ παντάπασι λ. εἰ δὲ ὠμοὶ χυμοὶ ~~παμπολλοὶ~~ ὄντες, μήτε φλεβοτομεῖν, μήτε
καθαίρειν. μήτε γυμνάζειν. ἀλλὰ μὴ ἤδη κινεῖν

ὅλως· μηδὲ λούειν· φυλακτέον δὲ αὐτοὺς ἐν ἡσυχίᾳ πα-
σῃ· καὶ ὅσα τε ἐδέσματα τε καὶ πόματα· καὶ φάρμακα
λεπτύνοντα καὶ τέμνοντα· ἄνευ τοῦ θερμαίνειν ἐπιφανῶς·
διαιτᾶν οὖν αὐτοῖς ἀπὸ ζωμοῦ βραχέος καὶ πτισάνης· ἐν τούτε
δὲ καὶ μελικράτου διδόντα· ἐπειδὴ καὶ τὸ ὑποχόνδριον ἅπασι
τοῖς τοιούτοις ἐμπίπλαταί τε καὶ ἐμπεφύσηται· καὶ ῥᾳδίως ὅτι-
περ ἂν προσάρωνται πνευματοῦνται· βέλτιον αὐτοῖς διδόναι
τὸ σὺν τῇ τροφῇ πέπερι· ἄμεινον καὶ τῷ διοσπολιτικῷ χρῆσθαι
φαρμάκῳ· καὶ τὸ διὰ τριῶν πεπέρεων τὸ ἁπλοῦ· καὶ τὸ ὀξύμελι
δὲ χρησιμώτατον αὐτοῖς ἐστι· πόμα δὲ χρήσθωσαν ἀπομέλι-
τος· καὶ μελικράτου τῷ ὀξυάτῃ· καὶ τῶν οἴνων τοῖς ὀξυσμένοις
ἀφέμα· καὶ τῶν ἐδεσμάτων· καὶ τῶν οἴνων τοῖς λεπτύνουσιν
ἄνευ τοῦ θερμαίνειν· οἷά περ ἐστὶ καὶ ἡ κάππαρις· ὁ δὲ ὀξύμελι-
τος· καὶ τὸ ἔλαιον λαμβανοίτω· ὁ δὲ τονώδης κόπος, ὅταν ἀ-
ναγυμνάστοις συνίσταται, πλῆθος ἐνδείκνυσι διατείνων
τὰ στερεὰ τοῦ ζώου μόρια· δῆλον ὅτι δι᾽ αἵματος ὑπερπλή-
θος ἄριστον καὶ φλεβοτομεῖν καὶ ἀποσχάζειν τὰ σφυρά· ὁ δὲ
φλεγμονώδης αὐτόματος κόπος, οὗ ἐπὶ ὡρῶν ὀλίγων μὲν
τοι γε σῴζοιν καὶ τριῶν ἡμερῶν ἀνέχεται βραδύτερος· ἀλλ᾽ αὐ-
τίκα πυρετὸν ἐπάγει σφοδρόν, ἢν μή τις φθάσας ἀποχέ-
οι τοῦ αἵματος· κάλλιον δὲ ἐκχωρεῖν ἄχρι ἀφαιρεῖν ἐν ἡμέ-
ρᾳ μιᾷ· τοῖς πρότερον οὕτω κενουμένοις ὡς λειποθυμεῖν βέλτιον
αὐτόν· τοῖς δεύτερον οὐδὲ τὴν λειποθυμίαν φοβεῖσθαι προ-
σήκει· μὴ φλεβοτομουμένων δὲ οἱ οὕτω διακείμενοι τύχης
ἀγαθῆς εἰς τὸ σωθῆναι δέονται:~ διαίτα γερόντων.

ιη Τὸ γῆρας ἐστὶ μὲν ξηρὸν καὶ ψυχρόν· ἐπανορθοῦσθαι δὲ αὐ-
τὸ διὰ τῶν θερμαινόντων τε καὶ ὑγραινόντων γίνεται· τοιαῦ-
τα δὲ ἐστὶ θερμὰ λουτρὰ γλυκέων ὑδάτων· καὶ οἴνου πόσις·
ὅ τε τῶν τροφῶν ὑγραίνουσιν ἅμα καὶ θερμαίνουσιν· χρὴ
δὲ ἀνατρίβεσθαι τοὺς γέροντας ἅμα λίπει μετ᾽ ἐλαίου

ὕπνους· ἐφεξῆς δὲ περιπατεῖν ἢ αἰωρεῖσθαι χωρὶς κόπου· τροφὴν δὲ διδόναι τοῖς ἀσθενεστέροις τρίτον· περὶ τὴν τρίτην ὥραν, ξηταμένοις καὶ γυμνασαμένοις τὰ πρὸ πόνων γυμνάσια γέρουσι· καὶ λουσαμένοις πρώτα μὲν ὅσα λαπάττειν γαστέρα προσφέρειν· ἐφεξῆς δὲ ἰχθύων, ἢ ὀρνίθων· κἄπειτα ἐπὶ τῷ δείπνῳ τῶν εὐχύμοτάτων καὶ δυσφθάρτων· οὐ κωλύω δὲ οὐδὲ τοῖς σκαναζομένοις [illegible] οἴνοις χρῆσθαι· καὶ μάλιστα τοῖς ἀπεψίας τῆς τῶν γερόντων ἐστὶν ἐν νεφροῖς λίθων γένεσις· ἢ ποδάγρας ἐμβάλλειν δ' αὐτῷ τῷ οἴνῳ τὰ πετροσελίνου· εἰ δέ ποτε φλέγματος ἐν γαστρὶ συνηθέντος· ὡς ἐξ ἀνάγκης ἐλοίμεθα· τινὰ τῶν τεμνόντων αὐτὸ, μετιέναι χρή· ἤτοι ταρίχους ἐπὶ τῷ ὕδραινου [illegible] διαίταν· διδόναι δ' αὐτοῖς καὶ πέπερι ἀσύνηθ· πρὸ τῆς ἄλλης τροφῆς· καὶ κατὰ τὸν χειμῶνα τὰς ἰσχάδας μηδενὸς συμπτώματος αἰσθανομένοις κατὰ τὸ δεξιὸν ὑποχόνδριον· ἐπειδὴ τὰ τὸ ὀρῶδη καὶ φλεγματώδη περιττώματα κατὰ τὸ τῶν πρεσβυτέρων ἀθροίζεσθαι σῶμα· τὴν οὖν γαστέρα προτρέπειν χρή· ὑπάγειν τε τὴν γαστέρα δι' ἐλαίου μάλιστα, καταρροφοῦντας αὐτὸ πρὸ τῶν σιτίων· ἀδήλου δ' ὅτι καὶ τὰ λαχανώδη πάντα πρὸ τῶν σιτίων ἐσθίειν χρὴ δι' ἐλαίου τε καὶ γάρου· ἐπὶ πλεῖον ἐπέχεσθαι τῆς γαστρὸς· καὶ τὸ λινόζωστις αὐτάρκης ἐστί· καὶ κνῆκος· ποιεῖ ἢ καὶ τερέβινθον λαμβανόντων δι' αὐτῆς· ἐνίοτε μὲν καρύου ποντικοῦ τὸ μέγεθος· ἐνίοτε ἢ δύο ἢ τριῶν· ἐγχυθὲν δὲ καὶ ἔλαιον διὰ κλυσμοῦ τοῖς ἐπεχομένοις χρησιμώτατον·— πρὸς τοὺς μὴ δυναμένους πλησιάζειν ~ Χρὴ δὲ λιπαίνειν τὰ αἰδοῖα μίγματι ἔχοντι τῆς τοῦ ναρκίνου ῥίζης βραχὺ μέρος, ἢ κόκκου

ναρχίσου ραδ.

του κνιδίου· ἢ πύρεθρον· ἢ σταφίδος τῆς ἀγρίας· ἢ τοῦ
ἄγνου· ὀρθρίζεσθαι δὲ καὶ ὅλως ὅπου πυριᾶται καὶ κέγχρου
μετ[illegible]ος ἐντίθεσθαι· κατεσθιέτω δὲ πρὸ τῆς τροφῆς
ὀπτημένους βολβοὺς τοὺς ἐρυθροὺς ὄντας τοὺς μικρούς·
ἅμα ὄξει καὶ ἐλαίῳ· ἢ μάζαν πεφυραμένην ἅμα
τῷ ἐχίῳ· ἢ σκίλλης βραχὺ μεμαρασμένης :—

πρὸς ἐρυθιδούμενον σῶμα :—

κ Ἐρυθίζοντον δὲ ποιεῖ τὸ σῶμα· καὶ ἄλευρα ὀρόβων ἀμ-
πέλῳ μιχθέντα λευκῷ ἀπὸ σμῆγμα σὺν ἀχῶδος μη-
χομένου· σὺν καπίονα ἅμα βετονίᾳ κόπτει· καὶ ἄλευρα
ὀρόβων κεκαυμένα· ἢ σκωπίας ὄστρακα· μήγιζος
ἐπισταζομένου βραχέως :— ὥστε ἡδὺ πνέειν :—

κα Ὅπως εὔπνουν τὸ σῶμα ἢ διὰ τῆς ἁφῆς κατασμήχειν κόμμεως
κύπρου ῥίζας ξηρὰν κόψαντας· ἢ πίτυος φλοιοῦ· με-
μνῆσθαι δὲ ὅπως τοῦ ὄρθρου μετὰ τὴν στολὴν μικρὸν
ἀποσταύσωνται· καὶ ἀκακίας· ἢ βράθυος :—

ὥστε ἀναθερμαίνειν τὴν ἕξιν :—

κβ Ἐπειδὴ δὲ δεῖ καὶ τὴν ἕξιν ἀμεῖψαι, ῥύμμασι λουομένους
χρῆσθαι τοῖς· καλαμίνθῃ καὶ σαμψύχῳ· καὶ ὑσσώπῳ
καὶ σταφνίτιδας· καὶ λιβανωτίδα· καὶ λίθον πυρίτην·
καὶ ἅλας· καὶ ῥύτα τῶν κεκαυμένων· καὶ νίτρον· καὶ κό-
σιριν τὸ καὶ λότον ἐκ ἀσ ... νάπυος· καὶ ἀγρίας σταφίδος· ἢ καὶ βραχὺ
καὶ κόκκου κνιδίου ἀπὸ τοῦ λουτροῦ ἀκόπως χρῆσθαι θερ-
μαίνουσι :— ^ πρὸς ἄχροιαν· τὴν τοῦ σώματος

κγ ἄχροιαν, μύει βίος εὐφροσύνης· καὶ ἡ προσηνὴς βρῶ-
μα· τῇ ἢ βρόμῳ κατὰ μίγνυσθαι ῥαφανίδα· καὶ πράσα
καὶ τὸ χλωρὸν ἐρέβινθον· ἄχροιαν δὲ ἐργάζεται καὶ τῆς
γλυκείας ῥοιᾶς ὁ χυλὸς ῥοφούμενος· καὶ οἶνος ἐξ οἰκ ἔλαιον
ἐμβληθὲν ἐπὶ μικρὸν αὐτῷ βρυωνίας ῥίζα· τοῦτο καὶ τέλ-
νον ἐργάζεται τὸ σῶμα· τοῖς δὲ ῥύμμασι μιγνύσθω κολίνας

^ Deest ex pauli p° libro. καὶ πινέτω κιῤῥὸν
οἶνον παλαιὸν καὶ πρόπωμα δι' οἰνομέλιτος
καὶ πεπέρεως καὶ πηγάνου καὶ τῶν παρα-
πλησίων

γεγονὸς ἐκ τινος τῶν ῥυπτόντων· ἀλεύρου καὶ βολβοῦ τῆς
ναρκίσσου· καὶ βρυωνίας ῥίζης· τοῦτο καὶ τὸ λευκὸν ἐργάζεται.
τὸ δὲ χρῶμα καὶ τὴν ἐσθῆτα εὐπορία ῥίζα τῆς πικρᾶς ἀμυγδαλῆς.
καὶ ὁ καρπὸς ἐν ὕδατι ἑψηθεὶς ἐν τῷ χρῆσθαι λουτρῷ:—

πρὸς τὰ πελιώματα

Καλῶς μὲν οὖν οἴονται ἰᾶσθαι πελιδνώματα τὰ πλαδαρὰ ἐργαζο- κδ
μένους τὴν θεραπείαν καὶ σποπάθη· καὶ τὸ ἐξιὸν αἷμα τὰ θερ-
μαίνει· ὅπως δὲ θᾶττον ἀπογένηται· ἄλλοι μὲν χρῆσθαι ἐν
τοῖς βαλανείοις κατὰ τὸ μέτωπον· παραυτίκα δὲ πυρίαν
σπόγγοις, δευθέντας ἀφεψήματι τοῖς ῥαφάνοις ἢ τοῦ
ἀψινθίου:— ὀδόντων φυλακτικά κε

Οἱ ὀδόντες οὐκ ἀπογεννήσονται, εἴ τις ταῦτα ποιῇ· φυλάσ-
σεσθαι πρῶτον τὰς διὰ φθορᾶς σιτίων· φυλάττεσθαι καὶ
τοὺς συνεχεῖς ἐμέτους· ὑφορᾶσθαι δὲ καὶ ἐδωδὰς ὅσαι μὴ
σύμφοροι ὀδοῦσι· σῦκα ξηρὰ καὶ μέλι ἑφθὸν τῷ σκληρὸν ἅ-
παν εἶναι· καὶ φοίνικας ὅσοι εἰσὶ θρυπτοί· καὶ πάντα ὅσα τῆς
κόλλης ἔχεται· καὶ τὰ κατατεινόμενα μόλις· ὀλεκτόδοντας·
καὶ τὰ ἐμμωλώπων ἐμποιοῦντα· δεῖ δὲ καὶ μετὰ δεῖπνα ἐκκα-
θαίρειν τοὺς ὀδόντας· Δ ὡς μὴ βαρυηκοεῖν

Πρὸς τὸ μὴ δὲ ἀκούειν βαρύ, πρῶτον καθαίρειν τὰ ῥύ- ἢ ἐν κϛ
πη τὰ ἐν τῷ πόρῳ· παρὰ χρόνον δὲ καθιέναι λίνον εἰς
αὐτὸν καταβαφὲν ὀποπάνακι· καὶ προσπίεσθαι ἐξῆ-
ς κοιλάνατου πόρου ἐκκάθαρσις γίνεται· καὶ ἅμα τῆς
ἀκοῆς πρόκλησις· μετὰ δὲ ταῦτα οἷον ὀρόβου μέγεθος
ποδείου χαλκοῦ ἐγχεῖσθαι βύσσαι τοῦ πόνου ἑψήματι· καὶ ἀπεψ τε-
ξελόμενον χείνω ἑψημέσας πεντεέλαιῳ ἀμυγδαλί-
νῳ· ἢ κυδωνίῳ· ἢ χαμαιμηλίνῳ ἢ λίπους χηνῶν· καὶ ὅλι-
της χολῆς βοείας· πάλιν δὲ μετὰ χρόνον ναπυ καὶ σῦκα
ἑψηθὲν πεποιημένον εἰς τοῦτο κηρίον ἐντιθέναι ἐφω-
ρασθ· καὶ ἀπεξελέσθαι μετὰ τοῦτο ἐγχεῖν δὲ ἔλαιον ἀπεζεσ-
μένον

Δ Deest ex Paul. καὶ τὰ καταψυχρα
καὶ τὰ σαπρὰ πάντα

‡ τὸν πόρον Paul.

∴ ἐγχέαι ρ

σὺν κηλώματι ἀσφοδέλου ῥίζης:

κζʹ

## Πρὸς ἀχλὺν ὀμμάτων

Ὅπως μὴ ἀχλὺν ἔχῃ τὰ ὄμματα, τοῖς λούουσι κατὰ κεφαλῆς
ψυχροῦ μὴ κάτω ἀναβλέπειν· πρὸς δὲ τὸ δύναται τὸ σθενεῖν ἰσχὺς
τῆς ὁράσεως· μηδὲ λυπεῖσθαι ἢ μὴ ἀναγινώσκειν· τὸ δ᾽ ἔμπροσθεν
καὶ δυσόρατον βιάζεσθαι ἐν βλέπειν· ὑφοράσθω ἐνδεᾶ
οἶνον τὸν πλείω καὶ γλυκύν· καὶ τροφὰς ὅσαι ἄνω πολυμε-
νῶσι· καὶ ὅσαι δύσπεπτοι καὶ ὑγρὰ γεννῶσιν ἄθροα καὶ πα-
χέα· καὶ τὰ ἀΰξωμα καὶ τὰ πράσα· καὶ πάντα ὧν ἡ δριμύ-
της ἄνω αἴρεται· φυλάττεσθαι ἢ καὶ κατακλίσιν ὑπτί-
αν ἐπὶ μακρόν· καὶ κρύος καὶ ἀνέμους τοὺς ἐναντίους καὶ καπνὸν
καὶ κόνιν· ἐγχεῖν δὲ τοῖς ὀφθαλμοῖς ἑκάστης ἡμέρας αὐτῆς
πεποιημένον ὕδωρ· καὶ ἐπιμελῶς· καὶ ἐπὶ ἡμέραν μα-
ράθρα βάλλειν χλωρά· καὶ ἐς ἄγγος κεραμεοῦν ἔξωθεν
πίσσῃ κεχρισμένον· καὶ ὕδωρ ὄμβριον ἐπιχεῖν ἀποκεί-
μενον ἀλλ᾽ ἐξελόμενον τὰ μάραθρα:

κζʹ

## Περὶ πλησμονῆς

Μέγιστον κακὸν ἐν σιτίοις ἀμετρία ἐστὶ περὶ πλησμονῆς.
ἐκ γὰρ τίνων ἐπὶ τοσοῦτον χρῆσθαι ὥστε ἡ κοιλία, ἀλλὰ αἱ φλέβες ὑπερεμ-
πίπλανται· πονοῦσί τε καὶ διατείνονται· καὶ ῥήγνυνται· καὶ
ἀποφράττονται καὶ πνεύματος μεσταὶ γίνονται· καὶ πάν-
των πάθους καὶ ἄλλων νοσημάτων πλησμονὴν εἶναι·
τὸ δὲ τῆς γαστρὸς πλήρωμα ἐστὶν ὅταν καὶ ἐκ ἄνω τὸ
ὑπερβάλλον καὶ κάτω διαχωρῆται· ὅτε δὲ ἀσθενέστερον τὸ
κατὰ τὰς φλέβας ἐστίν· οὐ μὴν οὐδὲ τοῦτο αἱρετόν· ἀλλ᾽ εἴ
τις πλείω ἐνέγκοιτο, αὐτίκα χρὴ ἐμεῖσθαι· κίνδυνος
γὰρ περὶ τὸ ἐκπληροῦσθαι τὰς φλέβας· καὶ μᾶλλον ἀ-
νεχῶς τῆς περὶ τὴν τροφὴν ἀπολαύων, μηδὲ μίαν κέ-
νωσιν ἐξευρίσκειν· ἐνθυμητέον πεῖναν καὶ φθαρῆναι τὰ
σιτία· ὅσα δὲ γίνονται κωλύματα ἐστὶ πρὸς τὸν ἔμετον· ἀλλ᾽ ἐκ ῥύσι

Δ ὑπερβάλλον. Rai.

Π ἐξευρίσκοι Rai.

Δ ἀτρεμεῖν. Ραυ.

γάστερ, πολλάκις ὠφελῆσαι· ἂν δὲ μή, ἀλλὰ καὶ μὴ ἐθισθῆ-
ναι τι ἐπὶ πλεῖστον· καὶ ποτὸν ὕδωρ θερμὸν πίνειν τὸ κινοῦ-
μενα πέψαντα δ' ἱκανῶς μάλιστα δὲ καὶ διαχωρῆσαι· λούεσθαι·
καὶ τοῦ ἐσθίεσθαι· καὶ σιτίον ἐσθίειν ὀλίγον· καὶ πόμα ὑδα-
ρὲς πίνειν· ἂν δὲ μήτε διεχώρησέ τι μήτε ἔπεψε παχύ·
προσδὲ τὸ ἄλλο σῶμα βαρὺ καὶ δυσκίνητον· καὶ ὑπνῶσαι
ἐθέλει· καὶ τινὰς παραλόγους ὄκνους τῶν γνωμῶν ἔχοι· ταῦτα
γὰρ σημαίνει κατὰ τὰς φλέβας πλησμονήν· πόνοις
κοπώδεσιν ἐπὶ τοῖς γινομένοις μέχρις τὰ ἐν γαστρὶ ἐκπέψωσιν
Δ ἀτρεμεῖν συμφέρει· μετὰ ταῦτα πόνοις κενοῦν:—

Δίαιτα τοῖς ἐν ἀσχολουμένοις βίοις τυγχάνουσιν
ἐκ τοῦ Γαληνοῦ.

Τῶν ἐν ἀσχόλῳ βίῳ τυγχανόντων χρὴ σκοπεῖν· ἄν τε γυμνά- κθ
ζεσθαι κατὰ τὸν ἔμπροσθεν βίον ἔθος ἔχει· ἄν τε ἀγύμνα-
στος λούεσθαι· καὶ ἂν μὴ γυμναζόμενος μετρίως φέρει
τὸ τοιοῦτον ἔθος, ὡς μὴ νοσεῖν συνεχῶς, εὐδιάπνευστος ὢν
τὴν γὰρ τοιαύτην φύσιν τοῦ σώματος· οὐ χρὴ μετάγειν ἐφ' ἕ-
τερον ἔθος· οὐδ' ὅλως ὅσοι διὰ πολλοῦ νοσοῦσιν· ἂν δὲ συνε-
χῶς τις φαίνοιτο νοσῶν· ἂν μὲν γὰρ πληθωρικός, σκοπεῖ-
σθω ὅσοι πρὸ τῶν ὑγιεινῶν διαιτῶν· ὅπως ἀεὶ συμμέ-
ἔχει τρους ἔχει τοὺς χυμούς· ἂν δὲ ἔχῃ κακοχυμίαν, ὅπως ἀρίστους
τῶν μὲν πληθώραν ἀθροιζόντων· τοὺς μὲν ἀντικρὺς
εἰς τὸ βαλανεῖον ἰόντας, ἔπειτα ῥιπτεῖτε καὶ χρῆ-
σθαι καὶ τοι βραχὺ κονίεσθαι πρότερον· ὅσοι ἔφθασαν τὸ
τοιαῦτα ποιεῖν ἐπ' ὀλίγον μὲν αὐξῆσαι καὶ αὐτὰ· συμβου- ἢ ταῦτα
λεύσομεν· ἀφελεῖν δέ τι καὶ τροφῶν· καὶ τὰς ὀλιγοτρό-
φους προσφέρεσθαι· τῶν ἢ κακοχυμίαν ἀθροιζόντων,
κοινὸς ἐστὶν ὁ σκοπός· ὅτι μὴ ἡ τῆς κακοχυμίας ἰδέα μία
γίνεται μὲν γὰρ ψυχροτέραν· καὶ φλεγματικωτέραν ἀθροί-
ζουσιν· ^ ἀφικτέον οὖν ἑκάστῳ τόν τε καὶ πολλῶν, ὅσα πέφυκε
σι

^ τινὲς δὲ θερμοτέραν τε καὶ χολωδεστέραν
ὥσπερ ἄλλοι μελαγχολικωτέραν. ex Rau.

κοινὸν· pau

γεννᾶν ἑτοίμως τὸν ἀθροιζόμενον αὐτοῖς χυμόν· ἐπὶ πάν-
των δὲ τούτων βοήθημα κοινὸν γαστρὸς ὑπαγωγή·

περὶ τῶν καταφθειρόντων τὰ σιτία·

λ′ Διαφθορᾶς τῶν σιτίων ἐν τῇ γαστρὶ γινομένης, οἷς μὲν ὑπάρ-
χον καὶ τὰ διεφθαρμένα μείζονα ἔφοδον ἐς ὕγιαν ἔχουσιν·
οἷς δὲ οὐχ ὑπάρχει, διὰ τῶν ἀλύπως ὑπαγόντων ἐρεθιστέον.
τοῖς δὲ οὕτω διακειμένοις, συμφέρουσι καὶ πρὸ τροφῆς ἀμέλει·
σποίνου πόσεις γλυκέος γινόμεναι· συμβουλευτέον δ' αὐτοῖς
χρῆ μηδὲ κνισσωδῶν ἢ βρομωδῶν· καὶ ὅλως εὐφθάρτων σι-
τίων προσφέρεσθαι· τὰ εὔχυμα δὲ ἐκλέγεσθαι, τοῖς δὲ οὕτως
ἔχουσιν ἐκ διαλειμμάτων χρόνου συμμέτρου τῆς γαστρὸς ὑπα-
γωγαὶ συμφέρουσι διὰ τῶν μετρίως καθαιρόντων·

ἐκ τῶν Διοκλέους· ὁδοιποροῦσι δίαιτα·

λα′ Πρὸς τὰς πορείας ῥᾷστα ἄν τις ἀπαλλάττοι, λαπάσσων,
καὶ μὴ σιτούμενος πορευόμενος· ἔτι δὲ τοῦ θέρους ταινία
μαλακὴ πλάτος ἓξ ἢ ἑπτὰ δακτύλων ἔχουσα· μῆκος
δὲ μὴ ἔλαττον πέντε πηχῶν κατειλημμένους τὴν ὀσφῦν ἄχρι
λαγόνων· καὶ βακτηρία δὲ χρήσιμος γίνεται παρὰ τῆς πορεί-
ας· ἐν μὲν γὰρ τοῖς καταντέσι προβαλλόμενος ἰσχυρὸν τὸ σῶμα
προπετὲς γινόμενον καθάπερ τις βάσις· ἐν δὲ τοῖς ἐναν-
τίοις ἐπερειδόμενος ῥᾷον ἂν ποιήσαι τὴν εἰς τὸ πρόσ-
θεν κίνησιν τοῦ σώματος· ὅτι δὲ ἧττον ἂν σφάλλοιτο τι-
σὶν ἐπερειδόμενος ἢ δυσίν· διαναπαύσει δὲ ὁδοιπορίας γι-
νομένης τῆς πορείας ἄλειμμα· καὶ σμήγματα προσφο-
ρα τῶν θερμῶν τινος· καὶ πόμα μέτριον ἁρμόττει ταύ-
την τὴν ὥραν καὶ μετὰ τὸ ἄριστον, ἀνάπαυσις προσέχεσθαι
συνεργὴν ἀναγκαζομένῳ καὶ σιτοῦντι· λεπτὸν δ' ἀμφί-
τον ἐφύλαττος μεθ' ἅλος μετρίου πίνειν· τὰ δὲ καύμα-
τα καὶ τοὺς ἡλίους εὐλαβεῖσθαι δὲ μηδὲ γυμνὸν ἡλιού-
μενον τοῦ σώματος· καὶ σκεπάζειν ὅπως ἰδίᾳ

□ θερινῶν pau.

ἀναπαύσεως pau.

Δ μηδὲ pau.

Λ ἀλλὰ adde ex pau

καὶ μὴ σκληρύνηται ξηραινόμενα παρὰ τὴν πορείαν·
τὰ γὰρ ἂν ὁ ὁδοιπόρος ἧττον συμβαίνῃ καὶ τῶν προειρη-
μένων παθῶν· οὐδὲν ἂν γένοιτο ὁμοίως· τοῦ δὲ χειμῶ-
νος τυχόντος πρὸ τῆς πορείας λιπανθέντα·
καὶ ἀλειψάμενον σιτίων τῶν χειμερινῶν μὴ πολύ· καὶ
πόμα μικρὸν ἁρμόττει λαβεῖν· καὶ ἐκλέξασθαι
νίας μακροτέρας, μὴ μόνον τὴν ὀσφὺν· ἀλλὰ καὶ τὴν
ῥάχιν καὶ τὸ στῆθος εὖ καὶ καλῶς διαναπαυόμενος ἐν
τῇ τοιαύτῃ παρηγορίᾳ γινομένης τύχους ἱκανοῦ· μὴ
θάλπεσθαι μήτε σιτίον· μήτε πόμα λαμβάνειν
βέλτιόν ἐστι· μὴ πάντων ὅπως ἂν τύχῃ πυρίαν· ἢ μὴ μάλλοι
τῆς αὐτῆς καὶ μικρὸν· μετὰ δὲ τὰς πορείας τὰς μακράς·
καὶ τοὺς ἄλλους πόνους τοὺς ἰσχυρούς· καὶ μὴ κοπιᾶ
τις δὲ καὶ θάλπεσθαι αὐτὸν καθάπερ τοὺς κοπιῶντας·
ἧττον γὰρ ἂν οὕτως ἀποβαίνειν τι δυσχερὲς :—

ἐκ τῶν ἐρασιστράτου :—

Τίνα συμβάλλεται τοῖς ἀποδημοῦσι πρὸς μεταβολὰς λβ'
τῶν ὑδάτων· πρὸς τὰ νιτρώδη τῶν ὑδάτων, καὶ ἁλικά
δὲ τινὰ ἔχοντα· οἷον εὐώδη τε καὶ διουρητικὰ ὡς βέλ-
τιον πλέον μιγνύναι τῷ πινομένῳ· καὶ ἀκρατέστερον ἢ
οὖν τὸ πᾶν ὑγρὸν μὴ πολὺ λαμβάνειν· οὕτω γὰρ ἥκι-
στα αὐτὶς ὑπὸ τῆς ὑδάτων κακίας ἐνοχλεῖται· ὅταν
αὐτῷ τῷ ὕδατι μιγνύειν χυλοὺς συνήθως τε καὶ πλείους
ἐναντίους μόνους τῇ τοῦ ὕδατος κακίᾳ, καὶ τὸ πᾶν ὑγρὸν
μὴ πλέον προσφέρηται, συμμεταβάλλειν τε καὶ τὰ ἐν τῇ
διαίτῃ προσφερόμενα ἁρμοζόντως πρὸς τὴν τοῦ ὕδα-
τος μεταβολὴν· ἐπιβλέπειν δὲ τοὺς ἀποδημοῦντας· ἀλλὰ
καὶ τὴν τῶν προσφερομένων ἁπάντων· τὰ γὰρ μέλλοντα
νοσοποιεῖν· ἢ τῆς ἐν τῷ πλήθει τῆς τροφῆς τὴν αἰτίαν
λήψεται· ἢ ἐν τῇ κακοχυμίᾳ· ἢ ἐν τοῖς ἀπὸ τῆς ἀναπνοῆς

γινομένοις:–

ἐμέτων δι᾽ ἔχους πλωϊζομένων διαίτης

λϛ' Πρὸς τοὺς συμβαίνοντας ἐμέτους τοῖς πλωϊζομένοις· τοῖς μὲν ἀπὸ πρώτης γινομένοις, οὔτε γὰρ ῥᾴδιον οὔτε χρήσιμον ἀντιτάττεσθαι· πάντα γὰρ ὡς ἐπὶ πολὺ ἔοικεν ὠφελεῖν· οὐδὲ μετὰ τὸν ἔμετον μὴ πολλά· μηδὲ τυχόντα βρώματα προσφέρεσθαι· ἀλλ᾽ ἢ τῷ φακῷ χρῆσθαι ὀξύρῳ ἢ καλεῖσθαι· γλήχους μικρὸν ἔχοντι· καὶ ἄρτῳ κατακεκομμένῳ οἴνῳ ὑδαρεῖ· καὶ εὐώδει· τῷ δὲ ποτῷ χρῆσθαι βραχεῖ· καὶ τούτῳ καὶ οἴνῳ παλαιῷ ὑδαρεῖ· καὶ ὀξυσίτῳ τῷ ἀπὸ τοῦ μέλιτος· τοὺς δὲ φακοὺς ἐκ τῆς σελινός· καὶ ἄπυθόν τε μαλακοὶ ἔσονται, ζιγγιβέρεως ἕλα ξηρᾶναι, καὶ ἄπυθοῦτως συνθεῖναι εἰς κεραμεοῦν ἄγγος· ἐπὶ πλείονα δὲ χρόνον πλεόνων γινομένων ἐμέτων τῆς ὑποσολύτης τροφῆς σφοδρότητα χρηστόν· καὶ τῷ ποτῷ βραχεῖ καὶ τῷ ὀξυσίτῳ τῷ ἀπὸ μέλιτος μετ᾽ ὀλίγου ἅλος· θύμον ἐν αὐτῷ ἀποβεβρεγμένον· καὶ γλήχωνι· καὶ ὕδατι μετὰ ἀλφίτου πολλοῦ· καὶ τῷ οἰναρίῳ τῷ εὐώδει· πρὸς δὲ τὰς δυσχερεῖς ὀσμὰς τὰς ἐν τοῖς πλοίοις, καὶ μῆλα δεῖ ἀνοσφραίνεσθαι, καὶ κυδώνια καὶ τὸν θύμον· καὶ τὸν γλήχωνα· οὐδὲ καὶ βλέπειν ὅτι μὴ εἰς τὴν θάλασσαν, ἕως εἰς τὸν ἐθισμὸν ἥκει τῆς ἐν τῷ πλοίῳ διαίτης· καὶ τοῖς ὕδασι δὲ προσέχειν· ὅπως μήτε θολερὰ· μήτε δυσώδη· μήτε ἀλυκὰ ἔσται:–

περὶ μέθης:–

λζ' Τοῖς μεθυσκομένοις, ἔμετος ἁρμόσει παραχρῆμα γινόμενος· οὐδὲ καὶ πλατύτερον ὕδωρ καὶ μὴ ἄκρατον ἐπιπίνοντας ἐμεῖν· ὡς πλεῖστα καταπορρίπτωσι· καὶ τὰς δ᾽ ἕξεις ἀμβλύνωσι· μετὰ δὲ τοὺς ἐμέτους, ἐμβάσει τε χρῆσθαι· καὶ σιωπᾶν ἅμα μὲν τὸ λοιπὸν τὸν λοιπὸν χρόνον χρόνον καὶ ἡσυχάζειν ἐν σκέπῃ κοιμωμένους ἐπὶ πλεῖον χρόνον· ἕως ἂν ἐξεμέσωσιν:–

περὶ τῶν ἀμεθύστως πεπλησιακότων

Κραιπάλης ἐάν.

τοῖς δὲ ἀμέτρως πεπλησιακόσιν, ἁρμόζει σκέπη καὶ θάλπη· πε'
ἡσυχία ὕπνοι ἱκανοί· ἕως ἂν ἐκ τῆς συνουσίας ἀνακτήσωνται
αὑτούς:— περὶ τῶν καταψυχομένων:—

πς' Καταψυχθεὶς δὲ ἱκανῶς γενέσθω καὶ κατακλίνειν ἐν τόποις θερμοῖς
αὐτούς· συναλείφοντας κυπρίνῳ ἢ ἰρίνῳ· μετὰ δὲ ταῦτα
μικρὸν ἀναθερμανθέντας συνάγειν περὶ πυρί· καὶ σμύρναν μετὰ τοῦ
γλεύκους εὐώδους παλαιοῦ· καὶ ὀπὸν ~~κυ~~ κυρηναϊκόν,
μετὰ οἴνου καὶ ὄξους (ἢ πυρέθρου· ἢ καστορίου) μετὰ τοῦ ὄξους· τροφὴν
δὲ προσφέρειν θερμοτέραν, καὶ σύμμετρον:— περὶ πζ'
ἐγκαύσεως:— Ἐγκαύσεως δὲ γενομένης, κατακλίνεσθαι
μὲν ἐν τόποις εὐπνόοις· προσκλύζεσθαι δὲ τό τε πρόσωπον,
καὶ τὰς χεῖρας καὶ τὰ σκέλη ψυχρῷ ὕδατι· προσδιψῶσι δὲ
γενομένοις, πίνειν ψυχρὸν ὕδωρ οἷς σύνηθες· ταῦτα δὲ ποιεῖν
ἐκ τοῦ κατ' ὀλίγον· καὶ μὴ ἀθρόον· τροφὴν δὲ λαμβάνειν ὀλί-
γην αὐτοῖς οἰκείαν· ὑγροτέραν μᾶλλον ~~μᾶλλον~~, ἢ σιτωδεστέραν:—

ἐκ τῶν Γαληνοῦ· περὶ φλέγματος ἐν τῇ γαστρί:—

πη' Εἴ τινι περιετύχηκας πολλάκις τῶν τροφίμων σιτίων προσ-
φορὰς ἀποστρεφομένῳ· καὶ δεινῶς ἀποσίτῳ· καὶ βιάζοιτο
προσφέρεσθαι ναυτιώδει γινομένῳ· μόνα δὲ τὰ δριμέα τὰ
δριμύτερα προσιεμένῳ, χαίροντι δὲ ἐπὶ τούτοις· ἀλλὰ καὶ ἐμ-
φυσωμένῳ καὶ διατεινομένῳ τὴν γαστέρα καὶ ναυτιῶντι· καὶ
βραχὺ ταῖς ἐρυγαῖς ἐπικουφιζομένῳ· μόναις δὲ καὶ φθεί-
ροντι δὲ ἔστιν ὅτε καὶ ταῦτα τὰ λαμβανόμενα σιτία καὶ μάλι-
στα πρὸς ὀξύτητα διαφθοράν· πάντως εἶναι τὰ βοηθήματα
κεφάλαιον ἐκείνου τῆς ἰάσεως ἀπορρύψαι τῆς γαστρὸς τὸ φλέγμα·
ἔστω τοίνυν εἰδέναι περὶ τῶν οὕτω διακειμένων, ἐπὶ ταῖς ὀξυμέ-
λιτος ῥαφανίσι πλῆθος μετὰ ἀπισοῦντε φλέγματος παχέος τε
ἀμέτρου αὐτὸς πρὸς χρῆμα δὲ σιτία τελέως ἀποδέχεσθαι:—

ἐκ τοῦ Γαληνοῦ τί ποιητέον ἐν ταῖς δυσκρά- πθ'
τοις καταστάσεσιν:— σκοπεῖν ἐν ἁπάσαις

ταῖς καταστάσεσι δὲ τὴν ἡλικίαν. (β΄) Σκέπτου τὴν φύσιν ἑκάστου
τῶν ἀνθρώπων ὅπως ἔχοι καὶ ἔστι πρὸς τὴν κατάστασιν. αἱ μὲν
γὰρ ὅμοιαι καταστάσεις νοσώδεις εἰσίν· αἱ δὲ ἐναντίαι συμ-
φέρουσι καὶ τοῖς μὲν εὐκράτοις σώμασιν, αἱ μὲν εὔκρατοι κατα-
στάσεις ὑγιειναί· βλάβεροι δὲ αἱ δύσκρατοι. ἀλλ' ὥσπερ
οὐχ ἡ μία τῶν δυσκράτων καταστάσεων ἀγαθὴ τοῖς εὐκρά-
τοις ἐστίν· οὕτως οὐχ ἡ μεγάλη βλαβερά· καθάπερ τοῖς
δυσκράτοις. ὅσα γὰρ ἐγγὺς ἤδη τοῦ νοσεῖν ἐστὶ σώματα
νόσου τοιαύτης δέχεται τὴν οἰκείαν δυσκρασίαν. ταῦτα ὑπὸ τῆς
ὁμοίας τοῦ περιέχοντος ἡμᾶς ἀέρος δυσκρασίας ἐξελέγ-
χεται. τὰ δὲ ἐναντίως κεκραμμένα τῷ περιέχοντι πρὸς
ζόμενα δ' ἐν αὐτῇ καθαιρέσει γίνεται βελτίω τὴν ἀμετρίαν τῆς κρά-
σεως τῆς ἐναντίας ἀμετρίας κολαζούσης ἐάν τοῦτο τίς γι-
νώσκῃ. τὴν ὑγείαν φυλάξει τοῖς σώμασιν, τἀναντία τὰ ἐπιτη-
δεύματα προστάττων:— Ἐκ τῶν Γαληνοῦ· περὶ
σαρκὸς καθαιρέσεως:— (β΄) Ὅταν εἰς πολὺ σαρκὶ
με΄ ἄμετρον ἐκτραπῇ τὸ σῶμα τηνικαῦτα καὶ καθαίρειν χρή·
δέδεικται δὲ θερμότερα καὶ ξηρότερα κρᾶσις ἰσχνὸν ἐργα-
ζομένη τὸ σῶμα. τοιαῦτα οὖν σοι ποιητέον ἐστὶ τῆς τῶν πα-
χέων εἰ μέλλοι τε ἐνήσεσθαι σύμμετρος. μεμάθηκας
δ' ὡς ὀξέα γυμνάσια καὶ δίαιτα λεπτύνουσα καὶ φάρμα-
κα τὰ τοιαῦτα. καὶ τῆς ψυχῆς αἱ φροντίδες ἀποφαίνουσι
τὴν τε κρᾶσιν ὅλην ξηροτέραν. καὶ διὰ τοῦτο τὸ σῶμα λεπ-
τότερον. τὰ μὲν οὖν τῆς λεπτυνούσης διαίτης. πρόδηλα.
φάρμακα δὲ τὰ σφοδρότερα. πήγανον τὸ σπέρμα. καὶ μᾶλ-
λον τοῦ ἀγρίου σὺν αὐτοῖς κορυμβοῖς. ἀριστολοχία στρογ-
γύλη. καὶ τὸ λεπτὸν κενταύριον. καὶ γεντιανὴ καὶ τὸ πόλιον.
ὅσα τε τῶν οὐρητικῶν ἰσχυρά. καθάπερ τὸ πετροσέλινον.
ἕκαστον γὰρ τῶν οὐρητικῶν τοιοῦτον. καὶ αὐτὸ καθ' ἑαυτὸ
σὺν ἄλλοις πάντα λεπτύναι τοὺς χυμοὺς καὶ κενῶσαι

γυμνασίων ex. pau. li. p    διαφορεῖ. Lau.



ἀλλὰ καὶ οἱ διὰ τῶν κεκαυμένων ἐχίδνων ἅλες ἱκανῶς λεπ-
τύνουσι· καὶ αὐτὴ ἡ θηριακή· διαφορεῖσθαι δὲ καὶ λεπ-
τύνει συγχριόμενον ἔλαιον ἐν ᾧ κεχυμένης σικύου ἀγρίου ῥίζης·
καὶ ἀλθαίας καὶ γεντιανῆς· καὶ πάνακος ῥίζης· καὶ ἀριστολο-
χία· καὶ τὸ πόλιον δὲ καὶ τὸ κενταύριον· δεῖ δὲ καὶ τὴν τροφὴν
οὐκ εὐθὺς ἐπὶ λουτροῖς διδόναι· ἀλλὰ κοιμᾶσθαι πρότερον
ἐπιτρέπειν· κάλλιον δ' εἶναι καὶ τὸ ὕδωρ τὸ ἐν τῷ λουτρῷ τῶν δια-
φορητικῶν εἶναι· εἰ μὲν αὐτοφυῶς ἐχόμενον οἷον ἐστὶν ἐν τῇ Μιτυ-
λήνῃ· εἰ δὲ μή, ἁλὸς αὐτόθι θαλαττίῳ ὕδατι μιγνύειν· καὶ
οἴνοις χρῆσθαι τοῖς λευκοῖς· καὶ λεπτοῖς· καὶ ἡ ξηροτριβία δὲ διὰ τῶν ἐκ-
μαγείων παχυτέρων λεπτύνει ἱκανῶς· δεῖ δὲ μὴ πρὸ λόγου τῶν
(μανασίων)· ἔλαττω δὲ προσφέρειν τὰς τροφάς· ὠφελεῖ καὶ τὸ
ὠσεὶ τοὺς κατασάρκους· χρὴ δὲ μὴ τὶ προπιεῖν αὐτοὺς καὶ μονο-
σιτεῖν δεόμενον· καὶ ἀνατρίβειν δὲ τὸ σῶμα· νίτρον ἐν λουτροῖς
λεπτύνει· τὸ γὰρ ὀλίγον ἐρεθισμός ἐστιν εἰς εὐτροφίαν· λεπτύνει
δὲ καὶ τὸ οὕτω μεμιγμένον· πεπέρεως καὶ πετροσελίνου ἁπλοῦ·
ἀσάρου δὲ καὶ ἀνήσου ἥμισυ· τοῦτο δὲ οὐρηθῆναι δυνατόν·
ἐστὶ διαχωρητικόν:– πῶς ἀναθρέψει τοὺς κατισχνω-
θέντας:– ὅσους δὲ ἀναθρέψαι βουλόμεθα τῶν λεπ- μα
τυνομένους, οἶνον μὲν δώσομεν τὸν παχύν· ἐδέσματα δὲ πα-
χύχυμα· καὶ γυμνάσια τὰ βραδέα· καὶ σιτεῖν μετρίως·
καὶ ἁπλῶς εἰπεῖν ἅπαντα ταῖς προειρημέναις τἀναντία·
ἐπιτήδειον δ' ἐστὶν αὐτοῖς καὶ τὸ πιττοῦσθαι δι' ἡμερῶν τριῶν· ἢ
καὶ τεσσάρων· εἰ δὲ νῆστις λούοιτο, πρὸ τοῦ λουτροῦ χρὴ σινδόνη
ἀνατρίβειν τὸ σῶμα μέχρις ἂν φοινιχθῇ· κἄπειτα σκλη-
εία μὴ πολλῇ πιττοῦσθαι τὸ δέρμα πυκνὸν καὶ σκλη-
ρὸν ἐργάζεται· δεῖ δὲ καὶ ὀξυθυμίας ἐμποιεῖν τοῖς ἀχρο-
οῦσι καὶ ἀτροφοῦσι· καὶ οὐ κινήσεως ψυχικῆς:–
πῶς ἄν τις ἰάσαιτο καὶ ἰσχνωθὲν μέρος–
Τῶν δ' ἰσχνομένων ἐν μέρεσι τισὶν ἰσχνοτήτων αἱ πλεῖσται, μβ

Δ δρῶν Lau

διὰ πολυχρόνιον νόσον ἰσχναὶ αὐτῶν· καὶ τὸ μάλιστα ἐπιδέσμ
τρόπον ἐστὶ τὸ πάθημα τοῦτο ἔχον· χρήσιμον ξηρῶν-
μὲν ἅμα τὴν ἐν τῷ μορίῳ δύναμιν· ἐπισπᾶσθαι δ' αἷμα
δαψιλόν· εἶτα ἐπιτεχνωμένους μετρίαις· ἐπιτηδείαις
τε κινήσεσι· καὶ καταχύσει θερμοῦ ὕδατος μετρίως· ταῦ-
τα ποιεῖν μέχρις ἂν ἐρυθρὸν γενόμενον μετεωρισθῇ·
καὶ πρὶν ἀντιπεσεῖν παύεσθαι· δεῖ δὲ καὶ τῶν πιτύων
φαρμάκων χρῆσθαι κατὰ τοὺς εἰρημένους σκοπούς· ὅτε
δὲ αἴσθησις ἢ ψυχρότης μορίου· σινδόνι τε ἀνατρίβειν
αὐτό· καὶ τινὶ φαρμάκῳ θερμαίνοντι ἐγχρισάμενον ἢ
ἐνίοτε καὶ θαψίᾳ· ποτὲ ἐξ μετὰ μέλιτος ἐπιχρίων· ἄρι
στα δ' ἔτι καὶ διὰ κηρωτῆς:~ διάγνωσις ἀρίστης κράσεως
μγ Εὔκρατός ἐστιν ἄνθρωπος· ὅσα ἐν τῷ σώματι φαίνεται μέσος
ἀκριβῶς ἁπάντων τῶν ἄκρων· ἰσχνότητός τε καὶ παχύτη-
τός τε· μαλακότητός τε καὶ θερμότητος· καὶ σκληρότητος·
καὶ ψυχρότητος· καὶ ὑγρότητος· καὶ ξηρότητος· καὶ
συνελόντα φάναι τὰς τε κατὰ φύσιν ἐνεργείας ἀμέμ-
πτως ἔχειν· μέσος δέ ἐστι καὶ ψιλοῦ τριχῶν· καὶ δασέος
καὶ μέλανος καὶ λευκοῦ τὴν χρόαν· καὶ τρίχας ἔχειν· παῖς
μὲν ὢν πυρροτέρας μᾶλλον ἢ μελαντέρας· ἀκμάζων δὲ ἔμπαλιν:~
διάγνωσις δυσκράτων σωμάτων·
μδ Οἷς τὰ σώματα τοῦ συμμέτρου θερμότερα τυγχάνει, τοῦ-
τους δύνασθαι φύσει θᾶττον αὐξηθῆναι· αὐξηθέντες τε ὅμοιοι· φαίνονται
ἤδη σώματι καὶ ἁπτομένοις θερμότεροι· καὶ πιμελῆς ἧττ-
ον· τὴν χρόαν δὲ ἐξέρυθρα· καὶ μελανότριχα· καὶ μετρί
ως δασέα· καὶ ἀρτηρίας ἔχοντα τὰς φλέβας· ὁ δ' ἅμα τῆς
ἢ πιμελώδης τε καὶ παχύς· καὶ τὰς φλέβας εὐρείας ἔχει,
διὰ ἐνθοῦς οὗτος οὐ φύσει πιμελώδης ἐγένετο· ψυχροτέρας
δὲ κράσεως σημεῖα, τὸ ψυχρὸν ἁπτομένοις· τὸ ἄτριχον·
τὸ πιμελῶδες· ἡ χρόα δὲ τούτοις ἀμαυρά· αἱ τρίχες πυρ-
ρότερα

ἡ δὲ ξηρὰ σκληροτέρα τε. καὶ

Δ σκληρότητος καὶ.

πολλῆς ἤδη τῆς ψύξεως οὔσης, πελιδνή πως ἐστὶ καὶ μολιβ-
δόχρους. καὶ στενὰς δ' ἔχουσι τὰς φλέβας. ὁ δὲ τὰς στενὰς μὲν ἔχοι
τὰς φλέβας. ἰσχνὸς ἢ ἀπ' ἀρχῆς οὐ δοῦλος ἐξ ἀνάγκης τοιοῦτος.
ἀλλὰ δι' ἔθος ἐγένετο. (ἡ δ' ἡ σκληρὰ ξηροτέρα τε ἐστὶ καὶ ἰσχνο-
τέρα τῆς εὐκράτου καὶ δασεῖα. ἡ μὲν οὖν σκληρότης ἀχώριστος
ἐστὶ τελέως τῆς ξηρᾶς κράσεως. ἡ δ' ἰσχνότης οὐ μόνον ἐπὶ ταῖς
συμφύτοις κράσεσιν. ἀλλὰ καὶ ταῖς ἐπικτήτοις ἐξ ἔθους μα-
κροῦ γινομέναις. σημεῖον δ' ἡ τῆς (ξηρότητος) καὶ τὸ δυσκίνητον καὶ
αὐχμηρὸν καὶ ξηρὸν ὑπὸ τῶν ξηραινόντων γίνεσθαι τὸ σῶμα. ἡ ὑ-
γρὰ δὲ τὰ μὲν ἄλλα παραπλήσιος ἐστὶ τῇ εὐκράτῳ. μαλακω-
τέρα δ' ἢ καὶ πολὺ σαρκωδεστέρα καὶ ταύτης ἀχώριστός ἐστιν ἡ μαλακό-
της ὥσπερ γε καὶ ἡ παχύτης, οὐ τῇ συμφύτῳ μόνον ἐπιμένει
κράσει. ἀλλὰ κἂν ἐξ ἔθους μακροῦ τινος λάβῃ τὴν σύστασιν.
ἴδιον δὲ ἐστὶν ὑγροτέρου. καὶ τὸ βαρύνεσθαι τὸ σῶμα ὑπὸ τῶν ὑγραι-
νόντων. ἡ δὲ θερμὴ καὶ ξηρὰ δασεῖα μὲν ἐσχάτως ἐστὶ ταῖς τε τῆς
κεφαλῆς τρίχας εὐαυξεστάτας καὶ μελάνας. καὶ πολλὰ σχεδὸν κατὰ
τὴν νέαν πρώτην ἡλικίαν. ἐπεὶ δὴ προϊόντι τῷ χρόνῳ καὶ φα-
λακρὰ ἀκολουθεῖ καὶ φλέβας δ' εὐρείας τυγχάνουσιν. ὥσπερ γε
καὶ αἱ ἀρτηρίαι μεγάλαι τε εἰσὶν ἅμα καὶ σφοδρότατα σφύζουσι.
καὶ δὴ καὶ σύντονον καὶ διηρθρωμένον καὶ μυῶδες. καὶ (ἀπομηλον) ὅλον
τὸ σῶμα σκληρότερόν τε καὶ μελάντερον. ψυχρᾶς ἢ οὔσης καὶ ὑγρᾶς.
ὁ μὲν θώραξ στενός ἐστι καθόλου. καὶ πᾶν τὸ σῶμα ψιλὸν τρι-
χῶν. ἁπαλὸν καὶ λευκὸν τὸ δέρμα καὶ ὑπὸ πυρούταις θερμῇ ἐστί. καὶ
μάλιστα συνεστῶτι. καὶ οὐ φαλακροῦνται γηρῶντες. αὐθὺς ἤδη καὶ
δειλοὶ καὶ ἄτολμοι. καὶ ὀκνηροί. καὶ ἀδήλους ἔχοντας τὰς φλέβας
καὶ παχεῖς καὶ πιμελώδεις. καὶ μικροῖς καὶ μυσὶν ἀόρατοι. ἀόρι-
στοι καὶ ἀδιάρθρωτοι. καὶ βλαισοὶ γίνονται. τῆς ψυχρότητος
ἢ καὶ τῆς ὑγρότητος ἐπὶ πλέον αὐξηθείσης, ἡ χροὰ ἅμα ταῖς
θριξὶ πυρρά. κἂν ἐπὶ πλέον αὐξηθῶσι πελιδνή. ἡ δ' ἢ θερ-
μὴ καὶ ὑγρὰ κρᾶσις, μαλακωτέρα καὶ πολὺ σαρκωδεστέρα τῆς-

ἀπιμελλον. καὶ

ἀρίστης κράσεώς ἐστιν· ἐπὶ πλεῖον ἡ αὐξηθεῖσα· τοῖς σιωπε-
σῶν ὡς ἐστὶν ἑτοίμως ἁλίσκεται νοσήμασιν· τὰ δὲ ὀλίγω μὲν
ὑγρότερα· πάμπολλα δὲ ἢ τῷ θερμῷ, μαλακώτεροι μὲν
ὀλίγω τῶν συμμέτρων οἱ τοιοῦτοι· καὶ σαρκωδέστεροι· λασι-
ώτεροι δὲ οὐκ ὀλίγω· καὶ μὴν δὴ καὶ ἁπτομένοις οὐκ ὀλίγω θερ-
μότεροι· τὸ δὲ ψυχρὸν ἅμα τῷ ξηρῷ κατ᾽ ἴσον αὐξηθὲν, φύ-
σει σκληρὸν καὶ ἰσχνὸν ἐλάχιστον τὸ σῶμα· ἀμυχοῦντε (?) καὶ ἄνα-
θρον· καὶ ἄχροιον· καὶ ἄτριχον· ἁπτομένοις τε ψυχρὸν· καὶ
πιμελὴ δὲ ὁμοίως αὐτοῖς· καὶ τοῖς ἰσχνοῖς οὐ σὺν πυρετῷ (?)
τῇ σαρκί· τὰ δὲ τῶν τριχῶν τῆς χρόας, ἀνάλογον τῶν μετρίων τῆς
ψυχρότητος· τὸ δὲ τῆς ψυχῆς ἦθος ἄτολμον καὶ δειλὸν· καὶ
δύσθυμον· συλλήβδην δὲ ἤδη εἰπεῖν ἐπὶ τῶν κατὰ συζυγίαν κρα-
σεων ἐκ τῆς ἐπικρατούσης ποιότητος ἐπικρατεῖ τὰ γνωρίσ-
ματα:~ περὶ διαπλάσεως τῆς κεφαλῆς:~

μθʹ Ἡ μὲν μικρὰ κεφαλὴ, μοχθηρᾶς ἐγκεφάλου κατασκευῆς
ἴδιον σημεῖον· ἡ δὲ διὰ τὸ μόνης τῆς ὕλης πλῆθος οὐκ ἀ-
γαθόν· διορίζεσθαι οὖν αὐτὰ ἐστὶ τῷ σχήματι· καὶ τοῖς ἀπ᾽ αὐτῆς
πεφυκόσι· τῷ σχήματι μὲν ἡ εὔρυθμος· ἀγαθὸν γὰρ ἀγαθὸν τοῦ-
το σημεῖον· τοῖς πεφυκόσι δὲ ἡ ἄριστα διακειμένη· καὶ ὁ-
ναν ῥώσεις (?) αὐτῶν σύμπαν εὐτραφής τε ἐστὶ· καὶ εὔτονον·
καὶ ὀξυρρινεῖς δὲ γοργοί τε εἰσὶν οἱ ὀφθαλμοί· αἱ δὲ ὀσφραί (?) ἐκ-
λείπουσιν· ἔχουσι τὴν κατ᾽ ἰνίον ἢ μέτωπον ἐξοχήν· ἢ πα-
ρὰ τὸ δέον τοῦ προσήκοντος ηὐξημένην ὡς τὸ πολὺ μὲν οὖν
ὡς πρὸς τὴν μεγάλην, οὕτω καὶ ταύτας εὑρήσομεν μεμπτάς·
ἐν δὲ τῷ πανίῳ (?) καὶ τούτων γίνονται τινὲς ἀγαθαὶ τῆς διαπλατ-
τούσης δυνάμεως ἰσχυρᾶς ὑπαρχούσης:~

ἐγκεφάλου κράσεως γνωρίσματα

μϛʹ Ὁ μὲν εὔκρατος ἐγκέφαλος, μετρίως ἔχει ταῖς ψυχικαῖς
ἐνεργείαις· καὶ τῶν περιττωμάτων ἥκιστά τε βλαβερός (?)
πρὸς ἁπάντων τῶν ἔξωθεν τοῖς τοιούτοις, αἱ τρίχες τῆς κεφαλῆς·

Multa hic desiderari videntur
ex pauli [?]. ἡ μεγάλη δὲ οὐκ
ἐξ ἀνάγκης ἀγαθή. ἡ μὲν γὰρ
διὰ ῥώμην ἐγένετο τῆς ἐργα-
ζομένης δυνάμεως, ὕλην χρηστήν
τε καὶ πολλὴν δημιουργούσης
ἀγαθὸν σημεῖον

βρέφεσι μὲν οὖσιν ὑπόπυρροι· παισὶ δὲ ὑπόξανθοι· τε-
λειουμένοις δὲ γίνονται ξανθαί· μεταξύ πως οὖσαι τῶν τε ἀ-
κριβῶς οὔλων· καὶ τῶν ἁπλῶν· οὐ μὴν δὲ φαλακροῦνται
ῥᾳδίως· εἰ δὲ θερμότητα εἴη τοῦ μετρίου, ἐρυθρότης καὶ θερμό-
της περὶ τὴν κεφαλὴν ἔσται σύμπαντα· καὶ αἰσθηταὶ
μὲν ἐν τοῖς ὀφθαλμοῖς αἱ φλέβες· αἱ δὲ τρίχες τούτοις
γεννηθεῖσι, ταχέως ἐπὶ τῆς κεφαλῆς φύονται· καὶ πολ-
λαὶ μὲν οὖσι θερμοτέρου μέλαιναι καὶ ἰσχυραὶ· καὶ οὖλαι· μὴ πολ-
λῷ δὲ ὑπόξανθοι μὲν τὸ πρῶτον· εἶτα μελαίνονται· προϊούσης
δὲ τῆς ἡλικίας φαλακροῦνται· περιττώματα δὲ τούτοις ἐστὶ μέν-
τοι βραχέα ἀμέμπτως ὑγιαίνουσι· πληροῦνται δὲ καὶ βα-
ροῦνται τὴν κεφαλὴν ὑπὸ τῶν θερμαινόντων ἐδεσμάτων· τε καὶ πομάτων·
καὶ ὀσμῶν· καὶ τῶν ἔξωθεν προσπιπτόντων· βραχέσι ὕ-
πνοις αὐτοὶ αὐτάρκως ἀρκοῦνται πρὸς τὸ μηδὲ βαθεῖς
αὐτοὺς γίνεσθαι· ψυχροτέρου δὲ ἢ προσῆκεν ἐγκεφάλου
γνωρίσματα, περιττώματα πλείονα κατὰ τὰς οἰκείας ἐκ- ἢ κατὰ
ροάς· καὶ τρίχες εὐθεῖαί τε καὶ πυρραί· καὶ μόνιμοι· καὶ
ῥᾳδίως ὑπὸ τῶν ψυχρῶν αἰτίων βλάπτονται· καὶ κατάρ-
ροις· καὶ κορύζαις συνεχῶς ἁλίσκονται· καὶ αἱ τῶν ὀφθαλ-
μῶν φλέβες ἀόρατοι· καὶ ὑπνώδεις ὁπωσοῦν εἰσίν· ξη-
ροτέρου δὲ ἐγκεφάλου γνωρίσματα, τὸ ἀπέριττον ἐν ταῖς
ἐκροαῖς· καὶ τῶν αἰσθήσεων ἀκριβές· ἀγρυπνητικοί
τε εἰσί· καὶ τρίχας ἰσχυροτέρας μὲν καὶ τάχιστα φυούσας· γεννη-
θέντων μᾶλλον οὐλοτέρας ἔχουσι· φαλακροῦνται δὲ ἐντά-
χει· ὑγροτέρου δὲ αἱ τρίχες ἁπλαῖ καὶ οὐδόλως φαλακροῦνται·
καὶ αἱ αἰσθήσεις ἀχλυώδεις εἰσί· καὶ περιττωμάτων
πλῆθος· καὶ ὕπνοι πολλοί καὶ βαθεῖς· θερμοῦ δὲ καὶ ξη-
ροῦ τυγχάνοντος· ἀπέριττοι εἰσί· καὶ ἀκριβεῖς ταῖς
αἰσθήσεσι· καὶ ἀγρυπνητικώτατοι· καὶ φαλακροῦνται
ταχέως· ἡ μέντοι πρώτη γένεσις αὐτοῖς τῶν τριχῶν·

Τάχ' ἴσως τῇ λέξει ἐστὶ κἀν ἀσαφὲς ὅτι μελανότριχοί τε καὶ οὐ-
λότριχοι εἰσὶ καὶ θερμοὶ ψαυόντων τῆς κεφαλῆς· ἐρυθροί
τε περὶ τὸν τῆς ἀκμῆς χρόνον· ὅταν δὲ ὑγρότης προσῇ τῇ θερ-
μότητι· βραχὺ μέν τι ὑπερβάλλουσιν ἀμφοῖν τὸ σύμμετρον
ἥ τε χροιὰ καὶ ἡ θερμότης· καὶ ἐν τοῖς ὀφθαλμοῖς φλέβες
μεγάλαι· περιττώματα πλείω μετρίως πεπεμμένα·
καὶ τρίχες εὐθεῖαι· καὶ ὑπόξανθοι· καὶ οὐ φαλακροῦνται
ῥᾳδίως· πληροῦνται ἢ καὶ βαρύνονται τὴν κεφαλὴν ὑπὸ
τῶν θερμαινόντων· ὅταν δὲ ἐπὶ πλεῖστον ὑγρότης καὶ θερμό-
της ἥκωσι νοσώδης ἡ κεφαλὴ γίνεται· καὶ ῥᾳδίως ὑπὸ
τῶν θερμαινόντων τε καὶ ὑγραινόντων βλαπτομένη· οὐ μὴν
οὐδ' ἐγρηγορέναι δύνανται μέχρι πλείονος· καὶ ταῖς αἰσθήσε-
σιν οὐκ ἀκριβεῖς εἰσίν· αἱ ψυχραὶ δ' ἅμα καὶ ξηραὶ κράσεις
ἐγκεφάλου· ψυχρὰν καὶ ἄχρουν ἀποτελοῦσι τὴν κεφα-
λήν· εἰσὶ δ' ἰσχναὶ ταῖς κράσεσι· καὶ ἄφλεβοι τοὺς ὀφθαλμούς
καὶ ἀπὸ τῶν ψυχρῶν αἰτίων ἑτοίμως βλάπτονται· διὸ
καὶ ἀνωμάλως ὑγιαίνουσιν· αἱ δ' αἰσθήσεις αὐτοῖς ἐν
νεότητι μὲν ἀκριβεῖς εἰσὶ καὶ ἄμεμπτοι τὰ πάντα· προ-
ϊοῦσι δὲ ἀπομαραίνονται ταχέως· καὶ συλλήβδην εἰ-
πεῖν ταχύγηροι τὰ περὶ τὴν κεφαλὴν τὰ πάντα εἰσίν·
αἱ τρίχες δ' αὐτοῖς γεννηθεῖσι μὲν ἀνθοῦσι μόλις αὔξονται
ἢ καὶ πυρραί· αἱ δὲ ὑγραὶ καὶ ψυχραὶ κράσεις ἐγκεφάλου
κωματώδεις ἐργάζονται· καὶ ὑπνηλοὺς καὶ φαύλους τὰς
αἰσθήσεις καὶ περιττωματικούς· εὐψύκτους τε καὶ εὐπλη-
ρώτους τὴν κεφαλὴν ἁλωτούς τε καὶ καταρρόοις καὶ κο-
ρύζαις· οὐ μὴν οὐ φαλακροῦνταί γε οἱ τοιοῦτοι·

## Γαστρὸς κράσεως γνωρίσματα:

μζ Γαστρὸς γνωρίσματα τῆς μὲν φύσει ξηροτέρας ἐλαχίστως
διψώδεις γένοιντο· καὶ ὀλίγον αὐτοῖς ἀρκεῖ τὸν ποτόν· καὶ βα-
ρύνονται τῷ πλείονι· καὶ κλύδωνας ἔχοι, εἰ ἐπιπολά-
ζοιεν

αὐτοῖς ἐδέσματά τε χαίρει ξηρότερα· καὶ ἡ θερμοτέρα
φύσει γαστὴρ, πέττει μὲν ἄμεινον ἢ ὀρέγεται· καὶ μάλιστα
ὅσα σκληρὰ καὶ δυσαλλοίωτα· χαίρουσι δὲ τοῖς θερμοῖς
ἐδέσμασί τε καὶ πόμασι· οὐδ' ὑπὸ τῶν ψυχρῶν οὐδὲν βλάπ-
τονται κατὰ τὴν ἄμετρον χρῆσιν· καὶ ἡ ψυχροτέρα φύσει γαστὴρ
ὀρέγεται μὲν ἀγαθή· πέττει δ' οὐ κατὰ λόγον· καὶ μάλιστα ὅσα
δυσαλλοίωτα καὶ ψυχρὰ τῶν ἐδεσμάτων ἐστίν· ὀξύνεται δὲ
οὖν ἑτοίμως ἐν αὐτῇ· καὶ χαίρει μὲν τοῖς ψυχροῖς· βλάπτεται δὲ
ῥᾳδίως ἀμέτρως τούτοις χρησαμένη· αἱ μὲν τοίνυν διὰ νόσον ἐν
τῇ γαστρὶ δυσκρασίαι ταύτῃ διαφέρουσι τῶν ἐμφύτων· καὶ
τῶν ἐναντίων ἐπιθυμοῦσιν οὐ τῶν ὁμοίων· ἡ μὲν οὖν πέτ-
τει καλῶς καὶ γαστὴρ, εὔκρατος· ἡ δ' οὐ πέττουσα δύσκρατος·
ἀλλ' ἡ μὲν κνισώδεις ἢ καπνώδεις ἐργάζοιτο τὰς ἐρυγὰς
ἄμετρον αὐτῆς καὶ πυρώδη· ἡ δ' ὀξείας τὸ ἐναντίον· οὕτω
καὶ τὰ μὲν δυσκατέργαστα καλῶς πεττούσης ἄμετρον·
ἀσθενοῦς δὲ τῶν ταύτης εὐπεπτοτάτων, ἰχθῦς δὲ πεπτόντων·
σκέπτεσθαι δὲ ἐμπροσθεν ἅτινα χυμὸν ἔξωθεν ἐπιρρέοντα
τὸ σύμπτωμα γεννᾷ· τοῖς μὲν γὰρ φλεγματώδεσιν ὀξυρεγ-
μιώδεις γίνονται· τοῖς δὲ χολώδεσι κνισώδεις καὶ βορβο-
ρώδεις· καὶ εἶναι ἀλόγους τοιούτους· κοινὰ δὲ σύμπτωμα
ναυτίαν· ἀλλ' ἐξ ἐμῶν ἐμπλέουσιν οἱ μοχθηροὶ χυμοὶ τῷ
κύστει τῆς γαστρὸς ἐπιπολάζουσιν ἐμούμενοι· παρατλουσι
δὲ μάλιστα ἐπὶ κεναῖς αἱμάτων ἐμετῶν ναυτίαις οἱ τῷ σώ-
ματι τῆς γαστρὸς περιεχόμενοι καὶ τοὺς χιτῶνας αὐτῆς:—

## πνεύμονος διάγνωσις:—

Οὐ μόνον ἡ κοιλία διὰ ψῦξιν τε καὶ ἀσιτίας ὀργάζεται· καὶ μη'
ψυχροῦ καὶ θερμοῦ πόματος ὀρεκτικούς· ἀλλὰ καὶ
τὰ κατὰ τὸν θώρακα· καὶ μὲν δὴ καὶ πίνοντες οὐκ αὐτίκα
παύονται· καὶ τὸ ποτὸν ψυχρὸν ἰσχύει αὐτῶν μᾶλλον
τὸ δίψος ἢ πρὸς τὸ πολὺ θερμόν· ἀναπνέουσι δ' αὐτοὺς καὶ

ὁ ψυχρὸς ἀὴρ εἰσπνεόμενος· οὐδὲν ἐπικουφίζει τοὺς ἐνδία-
στρος δὲ ψυχρώδεις, ὥσπερ καὶ οἱ ἐναντίως ἔχοντες ὑπὸ τοῦ ψυ-
χρᾶς εἰσπνοῆς αἰσθητῶς ἀνιῶνται· καὶ μέγιστόν ἐστι γνώρισ-
μα τοῦ τῆς ἐν πνεύμονι ψυχρότητος· ἀλλὰ καὶ φλέγμα
ἀναχρεμπτόμενοι μετὰ βηχὸς ἀναπτύουσιν· αἱ ξηρότητες
δὲ τοῦ πνεύμονος ἀπέριττοί τε εἰσὶ καθαραὶ τῶν φλέγμα-
τι· καθάπερ αἱ ὑγρότητες περιττωματικαί· καὶ ἀλαμ-
πῆ μὲν ἐργάζεται καὶ βραγχώδη τὴν φωνήν· ἐνδέχεται αὐ-
τοῖς περιττώματα μέλλουσι καὶ ὀξύτατον φθέγγεσθαι προσ-
λομένοις·— Κράσεως καρδίας γνωρίσματα·—

μθ Καρδίας δὲ τῆς μὲν θερμοτέρας σημεῖα· μέγεθος ἀνα-
πνοῆς· καὶ σφυγμοῦ τάχος· καὶ πυκνότης· ἐστὶν εὐτολμία
τε καὶ μανιώδους θρασύτητος· ἔστι δὲ λάσιος αὐτοῖς καὶ ὁ θώ-
ραξ· καὶ μάλιστα τὰ στέρνα· καὶ τῶν καθ' ὑποχόνδριον· ὁ δὲ
τούτοις πλησίον ὡς ἐπὶ τὸ πολύ· καὶ τὸ σύμπαν σῶμα θερ-
μόν· πλὴν εἰ μὴ μεγάλως ἀντιπράττοι τὸ ἧπαρ· καὶ
μέντοι καὶ ἡ τοῦ θώρακος εὐρύτης θερμοῦ γνώρισμα· πλὴν
εἰ μὴ καὶ ταῦτα ποτὲ μεγάλως ὁ ἐγκέφαλος ἀντιπράτ-
τοι· ἡ δὲ ψυχροτέρα καρδία· σφυγμοὺς ἔχει μικροτέρους
τῶν συμμέτρων· δειλοί τε εἰσὶν οἱ τοιοῦτοι τὴν φύσιν καὶ ἄτολμοι·
καὶ ἀμελλητοί· καὶ ψιλὸν αὐτοῖς τὸ στέρνον· ἡ δὲ ξηροτέρα
καρδία· τοὺς σφυγμοὺς ἐργάζεται σκληρούς· καὶ τὸν θυ-
μὸν οὐχ ἕτοιμον· ἄγριον δὲ καὶ δύσπεπλον ὡς τὰ πολ-
λά· καὶ ὅλον τὸ σῶμα ξηρότερον· εἰ μὴ τὰ καθ' ἧπαρ ἀντι-
πράττοι· ὑγροτέρας δὲ σημεῖα, σφυγμοὶ μαλακοί· καὶ
τὸ ἦθος εὐκίνητον τε πρὸς ὀργήν· καὶ εὐκατάπαυστον·
καὶ τὸ σύμπαν ὑγρότερον σῶμα· πλὴν εἰ μὴ τὰ καθ' ἧ-
παρ ἀντιπράττοι· θερμῆς δὲ καὶ ξηρᾶς οἱ σφυγμοί·
σκληροὶ καὶ μεγάλοι· καὶ ταχεῖς καὶ πυκνοί· καὶ ἀνα-
πνοαὶ μεγάλαι τε καὶ ταχεῖαι· καὶ πυκναί· ἀπάντων οὖ-
-τοι

λασιώτατα τὰ κατὰ στέρνον ἐστί· καὶ τὸ ὑποχόνδριον· εἰσὶ δὲ
καὶ εἰς τὰς πράξεις ἄοκνοι καὶ θυμικοί· καὶ θρασεῖς· καὶ τυραν-
νικοὶ τοῖς ἤθεσι· καὶ γὰρ ὀξύθυμοι καὶ δύσπαυστοι· ἐὰν δὲ τὸ ξηρό-
της ἐπικρατήσειεν ἅμα θερμότητι, λάσιοι μὲν οὕτως οὐ-
τοι τῶν προειρημένων· ἕτοιμοι δὲ εἰς τὰς πράξεις· οὐ μὴν
ἄγριος ὁ θυμός· ἀλλ᾽ εἰς ὀργὴν μᾶλλον ἕτοιμοι· καὶ οἱ
σφυγμοὶ μεγάλοι καὶ μαλακοί· καὶ ταχεῖς καὶ πυκνοί· ὑ-
γροτέρας δὲ οὔσης καὶ ψυχροτέρας· οἱ μὲν σφυγμοὶ μα-
λακοί· τὸ δὲ ἦθος ἄτολμον· καὶ δειλὸν καὶ ὀκνηρόν· ψιλὰ
ἥκιστα μανιῶσιν· ὡς πρός τε καὶ εἰς ὀργὴν ἕτοιμοι· ψυχρὰ
δὲ καὶ ξηρὰ κατὰ σφυγμοὺς μὲν σφυγμούς, σκληροτέρους ἐργά-
ζεται· καὶ μικρούς· ἀοργητότατοι πάντων οὗτοι· ὀργισθέν-
τες δὲ φυλάττουσι τὴν μῆνιν· εἰσὶ δὲ καὶ ἀψίχολοι τὰ στέρ-
να μάλιστα πάντων·

## Ἥπατος κράσεις διάγνωσις

Ἥπατος θερμοῦ μὲν γνωρίσματα, φλεβῶν εὐρύτης· ἡ μ
ξανθῆς χολῆς πλειόνων· ἐν τῷ χρόνῳ δὲ τῆς ἀκμῆς καὶ με-
λαίνης, θερμότερον αὐτῆς τὸ αἷμα· καὶ διὰ τοῦτο καὶ τὸ σύμ-
παν σῶμα· πλὴν εἰ μή τι κατὰ τὴν καρδίαν ἀντιπράτ-
τοι· δασύτης τῶν καθ᾽ ὑποχόνδριά τε καὶ γαστέρα· ψυχροτέρου
δὲ στενότης φλεβῶν· φλέγμα πλέον· αἷμα ψυχρότερον· καὶ ἅ-
παντος τοῦ σώματος ἕξις ψυχροτέρα· χωρὶς εἰ μή τι πρὸς καρ-
δίας θερμαίνοιτο· ψιλὰ δὲ τριχῶν ὑποχόνδρια καὶ γαστήρ· ξη-
ροτέρου δὲ τὸ αἷμα παχύτερόν τε καὶ ὀλιγώτερον· καὶ αἱ φλέ-
βες ξηρότεραι· καὶ ἡ σύμπαντος τοῦ σώματος ἕξις ξηροτέ-
ρα· τοῦ δὲ ὑγροτέρου γνωρίσματα τὸ μὲν αἷμα πλέον τε καὶ
ὑγρόν· αἱ φλέβες δὲ μαλακώτεραι· οὕτω καὶ τὸ σύμπαν
σῶμα· πλὴν εἰ μὴ τὰ κατὰ τὴν καρδίαν ἀντιπράττοι· θερ-
μοῦ δὲ ἅμα καὶ ξηροῦ σημεῖα· λασιώτατον ὑποχόνδριον·
καὶ αἷμα παχύτερόν τε ἅμα καὶ ὀλιγώτερον ἐπικρα-

χολὴ πλείων· κατὰ δὲ τὴν ἀκμὴν καὶ ἡ μέλαινα· φλεβῶν
δ' εὐρύτης καὶ σκληρότης· οὕτω δὲ καὶ τὸ σύμπαν σῶμα θερμὸν
καὶ ξηρόν· ἡ μέντοι γ' ἀπὸ καρδίας ἡρμοσμένη θερμότης,
νικηθήσεται ῥᾳδίως· ἐξ ἧς πάλαι ὡρμημένην ψυχρότητα
ἀλε καθάπερ καὶ ἡ ψυχρότης τὴν θερμότητα· τὴν ξηρότητα δ'
οὐχ οἷόν τε ὑπὸ τῆς καρδίας ὑγροτέρας γινομένης πρὸς τοὐ-
ναντίον ἀχθῆναι· δῆλον δὲ ὡς ἐπειδὰν εἰς ταὐτὸν συνδρά-
μωσι τῶν ἀρχῶν ἀμφοτέρων αἱ κράσεις, ὅλον ἀκριβῶς τὸ
σῶμα κατ' ἐκεῖνο διατεθήσεται· τὸ δ' ὑγρὸν ἅμα καὶ θερμὸν
ἧπαρ, ἧττον μὲν τοῦ θερμοῦ τὸ ξηρὸν τὸ καθ' ὑποχόνδριον
ἐργάζεται λάσια· πλεῖστον δ' ἅμα καὶ φλέβας μεγάλας
καὶ τὴν ἕξιν ὑγρὰν καὶ θερμήν, εἰ μὴ κατὰ τὴν καρδίαν ἀντι-
πράττοι· εἰ δὲ ἐπὶ πλέον ἀμφοτέραις ταῖς ποιότησιν ἐξαπει-
λοῦ κατὰ φύσιν, ἑτοίμως ἁλίσκονται ταῖς σηπεδονώδεσι
καὶ κακοχύμοις νοσήμασιν· εἰ δὲ μᾶλλον ἐπὶ πλεῖστον αὐξη-
θείη· ἐπὶ ὀλίγον δὲ τὸ θερμόν· καὶ κακόχυμα γίνονται· τὸ
δ' ὑγρόν τε καὶ ψυχρόν, ἄτριχον μὲν ἐργάζεται τὸ ὑποχόνδριον· αἷ-
μα δὲ ἐργάζεται φλεγματικώτερον ἅμα στενότητι τῶν
φλεβῶν· καὶ τὸ σύμπαν σῶμα παραπλήσιον ἕξει· εἰ μὴ
πρὸς καρδίας ἐπὶ τἀναντία μετάγοιτο· τὸ δὲ ψυχρὸν ἅμα
καὶ ξηρόν· ὀλίγαιμόν τι καὶ στενόφλεβον ἐργάζεται τὸ σῶμα
καὶ ψυχρότερον· εἰ μὴ κἀνταῦθα νικήσειεν ἡ καρδία·
ρνα Ἐπειδὴ ταῖς θερμαῖς δυσκρασίαις πλεονάζει τὸ χολῶδες· κα-
τὰ μὲν ὑπιόντος αὐτοῦ, πρόδηλον ὡς οὐδὲν χρὴ περιεργά-
ζεσθαι· πρὸς δὲ τὴν ἀνωτάσιν φθειρομένου δ' ἐμέτων ἐκ-
κενοῦν· μετὰ γυμνάζεσθαι δ' αὐτοὺς βραχύτερον, οὐκ ὀξὺ καὶ
σύντονον γυμνάσιον· ἀλλὰ σχολαιότερόν τε καὶ μαλακώτε-
ρον· τινὲς δὲ τῶν σφόδρα θερμῶν οὐδ' ὅλως χρῄζουσιν·
ἀλλ' ἀρκεῖ περίπατοι καὶ λουτρὸν αὐτοῖς· οὗτοι δὲ καὶ τοῖς
μετὰ τροφὴν λουτροῖς χαίρουσιν· οἱ δὲ μετὰ ξηρότητος δέονται

διαίτης ξηραινούσης· διά τε τῶν ἐδεσμάτων καὶ λουτρῶν·
καὶ ἀποχῆς γυμνασίων σφοδρῶν καὶ πολλῶν· ὥστε
θέρους ὥρα καὶ θᾶττον λούεσθαι· καὶ μετὰ τροφῆς τὸ θερμό-
τερον· τὸ δ' ὑγρὸν ὀνίνησι τούτους· καὶ ἡ τοῦ ψυχροῦ πόσις·
ἐναντιώτατα ταῖς ψυχραῖς κράσεσιν ἀφροδίσια· φεύγεσθαι
δι' αὐτὴν χρὴ μάλιστα κόπων τε ἐγκαύσεων· καὶ φροντίδων
καὶ ἀγρυπνιῶν· αἱ δ' ὑγραὶ τῇ φύσει ἐν τῇ τῶν παίδων ἡ-
λικίᾳ, ῥευματικοῖς τε καὶ πληθωρικοῖς ἁλίσκονται
νοσήμασι· καὶ πρὸς τούτοις τοῖς σηπεδονώδεσι· δέον
τοίνυν γυμνασίων τε πλειόνων· ἀκριβοῦς τε τῆς ἐν τῇ γαστρὶ
πέψεως· δεῖ καὶ πρὸ τροφῆς δὶς καὶ τρὶς οὕτω λουόμενοι·
καὶ τοῖς αὐτοφυέσι λουτροῖς χρώμενοι, μάλιστα ὠφελοῦν-
ται, καὶ τοὺς ἀπορροιῶν τε προνοεῖν χρή, διά τε λουτρῶν
γυμνασίων πολλῶν καὶ τροφῆς· ἐκκρίσεών τε διούρων
καὶ γαστρός· οὐδὲν δὲ κωλύει καὶ ἀποφλεγματισμοῖς πο-
τὲ χρῆσθαι· καὶ ἀποκαθάρσεσιν· εὐχύμοις τε ἐδέσμασι·
καὶ οἴνου πρὸς τὴν οὔρησιν ποιοῦντος :

## Διόρθωσις τῶν ψυχρῶν δυσκρασιῶν

Τῶν δὲ ψυχρῶν δυσκρασιῶν τρεῖς εἰσὶ διαφοραί· ὧν ἡ νβ'
εἷς μέν ἐστιν ἡ ξηρὰ κρᾶσις· ὁ γὰρ ἐν χρόνῳ τοῖς γηρῶσι γίνε-
ται, τουτέστιν ἐξ ἀρχῆς ὑπάρχει τούτοις· ὑγραίνειν τοίνυν
αὐτοῖς χρὴ καὶ θερμαίνειν· ἔσται δὲ τοῦτο γυμνασίοις τε
συμμέτροις· καὶ τροφαῖς ὑγραῖς τε καὶ θερμαῖς· οἴνου τε
πόσει τῶν θερμοτέρων· ὕπνοις τε πλείοσι προνοουμένων
ἡμῶν· ὅπως τε καθ' ἑκάστην ἡμέραν ἐν τῷ σώματι γενό-
μενα περιττώματα ἐκκενοῦται πάντα· τὰ δ' ἀφρο-
δίσια τοὺς ξηροτέρους βλάπτει· καὶ μάλιστα τοὺς πρὸς
τῇ ξηρότητι καὶ ψυχρούς· μέσοις δ' ἐστὶν ἀβλαβῆ τοῖς θερ-
μοῖς καὶ ὑγροῖς· μοχθηραὶ δ' αἱ μεθ' ὑγρότητος ψυχραὶ
κράσεις εἰσί· καὶ μάλιστα θᾶττον τοῖς ῥευματικοῖς ἁλίσκονται

νοσήμασιν· ὀνίνησι τε αὐτοὺς ἀλουσία τε γυμνάσια
πλείονα· καὶ δίαιτα λεπτοτέρα καὶ χρίσματα μετρίως
θερμότερα· ὅσοι δὲ ψυχρότεροι μέν εἰσι φύσει, συμμέτρως
τε ἔχουσι τῆς κατὰ τὸ ξηρόν τε καὶ ὑγρὸν κράσεως· ἀπαιτεῖ-
ραι τε αὐτῶν καὶ ῥωννύναι τὴν θερμασίαν· ἐν δὲ τῇ κα-
θ' ὑγρότητι καὶ ξηρότητι· τῆς ὅλης δὲ αὐτῆς ἰδέα τὸ μέσον
ἐκλέγειν: — ἴασις ὡς ἐπὶ παραδείγματος

νς´ Τῶν ξηρῶν δυσκρασιῶν. τῆς ξηρᾶς δυσκρασίας ἡ μέν ἐστιν
ἐν τῷ καὶ αὐτῆς στερεᾶς οὐσίας ὁμοιομερεῖ σώματι γίνεται
ξηρότης· ἥτις ἤδη καὶ ἀνίατός ἐστιν. ἡ δὲ τῶν ἐξ ὑγροπαθοῦς
οὐσίας πρὸς ταύτης τῆς οἰκείας ὑγρότητος· ἐξ ἧς τρέφεσθαι τὰ
μόρια τελέως ἀπολυμένης· περιέχεται δὲ αὐτῇ κατὰ
πάντα τοῦ ζῴου μόρια δροσοειδῶς ἐν αὐτῇ περιεσπαρ-
μένη. ταύτην δὲ ἐνθεῖναι τοῖς μορίοις, οὐχ ἧττόν ἐστιν ἀνάν
τροφῆς· καὶ διὰ τοῦτο χαλεπωτάτη τῶν ἄλλων διαθέ-
σεων ἴασίς ἐστιν. ἄλλη δὲ ξηρότης ἐστὶν ἡ κατὰ τὰς μικρὰς
ἢ συνισταμένη ἀρτηρίας τε καὶ φλέβας, ~~οἷον ἰσχναί~~· ταύτας δὲ ξηρότητας
διαπαντὸς προσήκει ὑγραινούσῃ τε τροφῇ πληροῦν τῆς
οἰκείας ὑγρότητος ἑκάστου τῶν ὁμοιομερῶν· λούειν οὖν ἐπὶ
τῇ δ' ὕδατι εὔκρατον ἐνδιατρίβοντος τοῦ κάμνοντος πλεόνως
ὕδατι· μετὰ δὲ τὸ λουτρὸν εὐθέως διδόναι γάλα ὄνειον νε-
όδαλλον· δίδε καὶ μάλιστα ὀλίγου χλιαροῦ μιγνύντων
γάλακτι· καὶ μετὰ τοῦ θεᾶν ἡσυχάζειν ἄχρι τοῦ δευτέρου
λουτροῦ· τρίβειν δὲ τούτοις καὶ αὐτὸν μετρίως καὶ λιπαρῶς
ἀκριβῶς καὶ θερμάνασθαι· ὅθεν γάλα ταῖς ἐρύταις· καὶ τῶν
τῆς γαστρὸς ὄγκω τεκμαιρομένους· σύμμετρον ἀπὸ τοῦ πρώ-
του λουτροῦ πρὸς τὸ δεύτερον ὡρῶν ἰσημερινῶν δ' ἢ πέν-
τε (χρόνους) ἢ τὸ τρίτον ἔτι μετ' ἄλλοις λούειν αὐτόν· εἰ δὲ μὴ
πλειόνων· καὶ μὲν δὴ ἐπαλείφειν αὐτῷ ἐλαίῳ πρὶν
ἀμφιέννυσθαι καθ' ἕκαστον λουτρόν· εἰ μὲν δὴ ἤδη τῷ γά-
-λακτι

χρόνος καν.

οἷον τι καν. h. ρ. c. op.

καὶ μετὰ τὸ δεύτερον λουτρὸν δώσομεν· ἢ δὲ μὴ πτισάνην
ἀκριβῶς καθεψημένην· ἢ χόνδρον ὡς πτισάνην ἐσ-
κευασμένον· ἐπὶ ταύτῃ ἰσχάδας αὐτὰ πρὸς τὸ σιτίον ἄξομεν λου-
τρὸν· ἢ αὐτίκα ἐπὶ τὸ δεῖπνον· ἄρτος δὲ ἔστω παρεσκευασ-
μένος καλῶς πεποιημένος κλιβανίτης καθαρός· ὄ-
ψον δὲ τῶν πετραίων ἰχθύων· ἢ ὀρνίθων ἐκ λευκοῦ
ζωμοῦ· συνελόντι τὸ κεφάλαιον φάναι τὸ λοιπὸν τῆς τροφῆς·
ἄπεπτον ἔστω καὶ τρόφιμον· ἥκιστα γλίσχρον καὶ πνευμα-
τικόν· πόμα δ' οἶνος ὑδατώδης ἔστω καὶ λεπτὸς καθα-
ρὸς (ὁ λόφορος) βραχεῖαν ἔχων τὴν ~~στυ~~ στύψιν· μεγίστη μὲν γὰρ
ξηρότητος ἴασις ἐστὶν αὕτη· αἱ δὲ μέγισται τῆς οὕτως ἀκρι-
βοῦς· οὐδέ ὁ διαίτης, καὶ ἀσφαλεστέρως δ' ἐγχωρεῖ διαιτᾶν·
ὑποκείσθω μὲν παραπλησία ξηρότητι πρόσθεν· ἐξαλλάχθω
δ' αὐτῇ ψυχρότης ἐπιμίξομεν τῆς ἔμπροσθεν τὴν τῶν θερμαι-
νόντων ὕλην, καὶ προσθήσομεν τοῖς εἰρημένοις ἐν μὲν
τῇ τοῦ γάλακτος χρήσει, τὸ μέλι πλεῖον· οἶνον δ' ἧττον ὑδα-
ρῆ δώσομεν τοῦ πρόσθεν ἀλλὰ καὶ αὐτὰ δὲ τὰ ἐδέσ-
ἢ σιτίον ματα θερμότερα· οὐ μόνον ταῖς φυσικαῖς κράσεσιν·
ἀλλὰ καὶ ταῖς προσφάτοις ποιότησι· καὶ ναρδίνῳ μύ-
ρῳ συνεχῶς ὑπαλειπτέον· ἢ μαστιχίνῳ· τῆς ψύξεως
δ' οὔσης πολλῆς ἅμα τῇ ξηρότητι, πρῶτον μὲν αὐτὴν
χαλεπωτάτην νόμιζε καὶ δυσεπανόρθωτον· τοῖς
δ' αὐτοῖς χρῆσθαι· καὶ καθ' ἑαυτὸ μέλιτι ἀπηφρισμένῳ·
τὸν δ' οἶνον αἱρεῖσθαι παλαιότερον· ἄριστον δὲ φάρμακον
ἐπὶ τῶν τοιούτων πάντων· ὃ συνεχῶς οἱ πιπλῶται χρῶν-
ται· καὶ χρίειν αὐτῷ δεῖ τὰς ἕδρας· καὶ ἀπὸ πασῶν θερμῶν
ἐτύγχανον· ὠφελεῖ δὲ τοὺς τοιούτους· καὶ παιδίον αὐ-
στηρὸν συνθειμάμενοι· ὡς ψαύειν ἀφ' ὧν καὶ ἐπὶ τὰς ῥῖ-
μιγνύσθω δὲ ἑξῆς τῇ ξηρότητι θερμότης μαγεία· ἀπὸ ταύ-
της τῶν πρώτων ἀπολύειν φυλάξαι· ὡς μελιτώδες μὲν

μηδόλως ταύτας ἔσθαι· τὸν δ' οἶνον ἥκιστα παλαιὸν προσ-
φέρεσθαι· χλιαρὰ δὲ τὰ ἐδέσματα· καὶ τὰ λαχανώ-
δη προσοίσομεν· καὶ τῶν κοιλιῶν ἐπαλείφομεν ὀμφα-
κίνῳ τε καὶ μηλίνῳ· ψύχειν δὲ τούτοις ἀγωνιστικώτερον
οὐκ ἀκίνδυνον· πυρεκτικῆς πως οὔσης τῆς τοιαύ-
της καταστάσεως· ὅταν πλεονάζῃ τὸ θερμὸν ὑποκεί-
σθω ἢ πάλιν ἐπικρατεῖν τῆς ἡ θερμὴ δυσκρασία· με-
μίχθαι ταύτῃ τὴν ὑγρότητα· τὴν τοιαύτην δυσκρασίαν
ὕδατος ψυχροῦ πόσει ἀδεέστερον θεραπεύσομεν· ἐπὶ
τῇδε ἔστω ἡ καὶ ἡ τῶν στυφόντων ἐδεσμάτων χρῆσις· ἔστω
δὲ καὶ ταῦτα χωρὶς τοῦ θερμαίνειν, αὐστηρά· τῆς δ' ὑγρᾶς
δυσκρασίας μόνης συνισταμένης τὰ ξηραίνοντα τῶν
ἐδεσμάτων ἄνευ τοῦ θερμαίνειν ἢ ψύχειν ἰσχυρῶς βοη-
θεῖ· καὶ πρὸς τούτοις ἔνδεια τῶν συνήθων ποτῶν· τῆς δὲ μετὰ
ψυχρᾶς ὑγρᾶς δυσκρασίας ἄριστα ἰάματα δριμέα σύμ-
παντα· μιγνύσθω δὲ αὐτοῖς στυφόν τι χωρὶς τοῦ ψύχειν σα-
φῶς· ἄριστον δ' ἅμα τούτοις ὀλίγον τὸ πόμα· καὶ τοῦτο τῶν
θερμαινόντων ἰσχυρῶς οἴνων· τῶν μὲν οὖν ἐπὶ ταῖς ποιό-
τησι δυσκρασιῶν τοιαῦται τινὲς εἰσὶν ἰάσεις· ἐπεὶ δὲ πολ-
λάκις καὶ περιεχόμενον ὑγρὸν ἐν τῇ κοιλίᾳ τῆς γαστρὸς
ἢ ἀναποθὲν ὑπὸ τῶν χιτώνων αὐτῆς τὰς δυσκρασίας
ἐργάζεται· καλῶς ἂν ἔχοι καὶ περὶ τούτων εἰπεῖν· ἡ μὲν οὖν
προτέρα διάθεσις· εἴπερ ἅπαξ συσταίη διὰ μετεώρων καθ-
αιρεθεῖσα, καθίσταται ῥᾳδίως· ἡ δευτέρα δὲ ἐξ ἑτέρου τινὸς ἢ ἑτέρων
ἐπιρρεόντων μορίων· ἀκριβῶς δεῖται διαγνώσεως· ἡ θερα-
πεία δὲ αὐτοῖς ἐπακολουθήσει· τῶν μὲν γὰρ σύμπασαν θε-
ραπείαν ὧν πεπόνθασι χρὴ (προσφέρειν) προνοεῖσθαι ἢ
τῶν δεχομένων τοσοῦτο μόνον ὡς μὴ ῥᾳδίως δέχοιτο τὰ
ἐπιρρέοντα· γένοιτο δ' ἂν τοῦτο διά τε τῶν στυφόντων
καὶ διὰ τῶν εἰς ἀξίαν ἀγόντων τὸ πᾶν σῶμα τὰ ἢ

προσάγειν ῥᾳ-

ἐν τοῖς χιτῶσι τῆς γαστρὸς καὶ ἐγχύμοις· διὰ ἐστὶν καθαι-
ρόντων μετρίως· οἷς ἐστὶν ἀλόη, διὰ αὐτῆς σκευαζόμενα καὶ
φάρμακα ἡ πικρά· γλίσχρου δ' ἅμα φλέγματος ἐμπε-
πλασμένου τῇ γαστρί· δοτέον αὐτοῖς πρότερον ὃ τέ-
μνει τοῦτο· καὶ ἀποκαθοῦτως καθαρτέον· ἐὰν δὲ ἐπιτηδεί-
ως ἔχοι, διὰ ῥαφανίδων ἐμείτω· εἰ μὲν μήτε γλίσχρος· μήτε
παχὺς εἴη χυμός, ἀρκεῖ καὶ ὁ ἀπὸ τοῦ χυλοῦ τῆς πτισά-
νης ἔμετος· καὶ ὁ ἀπὸ τοῦ μελικράτου· πινέτω δὲ καὶ
ἀψινθίου χυλὸν ἐν μελικράτῳ· ἀνάλογον ἡ χρῆσις καὶ
τὰς ἐν ταῖς ἄλλοις μέρεσι γινομένας δυσκρασί-
ας ἰᾶσθαι τὰς ἐπιτηδείους εὑρίσκων
τὰ τοῖς ὑγροῖς· εἰ δὲ μήτε κοιλότητα
μήτε ἔκρουν ἔχει τὸ μόριον αἰσθη-
τικόν, ἅλμεσι καὶ ἱδρῶσιν ἐκκε-
νῶσαι χρὴ τοὺς πλεονάζον-
τας χυμοὺς ἢ ἰχῶρας
ἐν αὐτῷ· καθα-
περ καὶ
τὸ πνεῦμα
φυσῶ-
δες,
ἢ
τὸ περιε-
χό-
μενον

Πρὸς τὸ ἐμπτύλου·

## Τάδε ἔνεστιν ἐν τῷ ϛ λόγῳ

α Ὅτι τὰ κρίσιμα σημεῖα ἐν ἀρχῇ φαινόμενα. β πῶς
ἐν ἑσπέρᾳ τὴν ἀρίστην κρίσιν διαγνῶναι χρή. γ πῶς ἐ-
σομένην κρίσιν προγινώσκειν. δ οὐρῶν σημει-
ώσεις. ε πτισμάτων σημειώσεις. ϛ Γαληνοῦ
περὶ τῶν ἐπισήμων πυρετῶν διάγνωσις. ζ ἴασις
τῶν ἐπισκεπτομένων πυρετῶν. η τριταίων διάγνωσις.
θ τριταίων νόθων ἴασις. ι τεταρταίων διάγνωσις.
ια τεταρταίων θεραπεία. ιβ ἐφημερινῶν διάγνωσις.
ιγ ἐφημερινῶν θεραπεία. ιδ περὶ συνόχων πυρετῶν.
ιε συνόχων πυρετῶν ἴασις. ιϛ καύσου διάγνωσις.
ιζ καύσωνος θεραπεία. ιη πυρετῶν ἐπὶ ἐρυσιπελά-
των γινομένων θεραπεία. ιθ περὶ ἑκτικῶν πυρετῶν.
κ ἑκτικῶν πυρετῶν ἴασις. κα περὶ ἡμιτριταίων.
κβ περὶ νόσων πανδήμων. κγ Ῥούφου περὶ λοιμῶν.
κδ περὶ τῶν ἐπὶ πλήθει ὠμῶν χυμῶν συμπτωμάτων.
κε περὶ συμπτωμάτων τῶν γινομένων ἐπὶ ἀγρυπνί-
α· κενώσει· κινήματι ἀμέτρῳ· καὶ ἐπὶ δυσκρασίᾳ τῶν
ἀρχῶν. κϛ περὶ ὀδύνης νυγματώδους· σφυγμα-
τώδους ὡς ὑπὸ σκόλοπος· ἢ ὑπὸ ξυπάνου ἐμπεπαρμέ-
νου νυγματώδους. κζ περὶ συντήξεως θεραπεία.
κη Γαληνοῦ· ἐπὶ τῶν ἐπ᾽ ἀγρυπνίᾳ πυρεσσόντων θεραπεία.
περὶ καταφορᾶς θεραπεία. κθ περὶ κυνώδους ὀρέ-
ξεως θεραπεία. λ περὶ ἀνορεξίας θεραπεία.
λα βουλίμου θεραπεία. λβ περὶ δίψους ἀμέτρου.
λγ ἀδίψου κατὰ πάντα. λδ περὶ [illegible]. λε περὶ
ναυτίας. λϛ περὶ λυγμοῦ. λζ περὶ [illegible] γλώττης.
λη θεραπεία ἑλκωθέντος ἱεροῦ ὀστοῦ. λθ περὶ λιποθυ-
μίας

Varon de fuerte coraçon
de poco seso i cordura
de que no con [illegible]
sacastes esa [illegible]
[illegible] politica [illegible]

τῆς ἐπικενώσεως. — περὶ τῶν ὑπὸ πλήθους λειποθυμούντων: — ἴαμα θεραπεία ἐφ᾽ ὧν τὰ ἔξω αἵματος παρακολουθήσεται:

## ἀρχὴ τοῦ ἕκτου λόγου

Ὅτι τὰ κρίσιμα σημεῖα ἐν ἀρχῇ φαινόμενα μοχθηρᾶς πέψεως ἐστὶν οὐκ ἔστιν ὅτι κακῶς ἐπιφαίνεται σημεῖα τὰ κρίσιμα δῆλον ὅτε καὶ, οὔτε γὰρ ἐν ταῖς ἀρχαῖς ἔδει — ταῖς ἀναβάσεσιν γ᾽ ἢ ἐν ταῖς ἀκμαῖς αὐτὰ φαίνεσθαι. α

### πῶς ἀνεσώσεσθαι ἀκριβῆ κρίσιν διαγινώσκειν χρή

Εἰ μὲν ὅτε ὁ πυρετὸς λύοιτο κρινομένως τῷ δοκιμάζοντι, καὶ τῶν ἄλλων ἀπαλλάττοιτο συμπτωμάτων, ἀκριβὴς ὅτε γίνοιτο πρὸς λόγον τῆς κενώσεως· ἀσφαλέστερος τε καὶ ἰσχυρότερος ἐν ταῖς ἐπαναστάσεσιν· αὕτη γὰρ ἡ ἀρίστη κρίσις ἐστίν· εἰ δέ τι τούτων ἐλλείποι· τοσοῦτον ἀποδεῖ τῆς ἀρίστης· ὅτι καὶ τοῦ λείποντος ἡ δύναμις: β

### πῶς ἐσομένην κρίσιν προγινώσκειν χρή: γ

Εἰ μὲν ἐπιτείνοιντο· καὶ προσλαμβάνοιεν οἱ παροξυσμοί· καὶ σφοδρότεροι γίνοιντο, πολλῶν ἤδη κρίσις ἀπαντήσει. ἐν ταῖς λογικ... τὸ νόσημα κριθήσεσθαι δηλοῦσιν· ἐλάττους γίνοιντο· καὶ τὴν αὐτὴν ὥραν εἰσβάλλοιεν· ἀφ᾽ ἧς καὶ ἔλαττον γίνοιντο ἡμέρας· μετὰ πλείονα χρόνον ἔσεσθαι σημαίνουσι τὴν κρίσιν· καὶ τῶν ἐπὶ ῥίγεσι σφοδροῖς πυρεττόντων, οὐχ οἷον τε λύσιν γενέσθαι πρὸ τοῦ παύσασθαι τὸ ῥῖγος· τούτου γὰρ μὴ ἐνδιδόντος ἀδύνατον ἐστὶν ἤδη τὴν ἀκμὴν ἀπειληφέναι τὸ νόσημα· καὶ δῆλον ὅτι πολὺ μᾶλλον οὐδὲ τὴν παρακμὴν ἐλπίζειν χρή:

### περὶ τῆς ἀπὸ τῶν οὔρων σημειώσεως: δ

καὶ Οὖρον ἄριστον, τὸ τοῖς τῶν ὑγιαινόντων ὁμοιότατον· τοιοῦτον δέ ἐστι τὸ ὑπόπυρρον τε ἅμα καὶ ὑπόξανθον· ἀλλὰ τοῖς

Porque a natura os ladio
Porque yo me s[illegible] acaba
Antes [illegible]
Que os la quiso [illegible]
Despues de [illegible]

δὲ τοῦτο καὶ πάχος σύμμετρον ἔχει· οὐ σμικρὰ γάρ ἐστιν ἡ τῆς
διαφορᾶς τῶν θολερῶν οὔρων. ἢ γὰρ οὐρηθέντα τοιαῦ-
τα καθίσταται μετ' ὀλίγον, ἢ μένει παραπλήσια μέχρι
παντός. ἢ καθαρὰ μὲν ἐκκρίνεται, μετὰ δὲ ταῦτα ἀ-
ναθολοῦται. μοχθηρὸν δὲ τὸ τρίτον εἰρημένον. ἐπιεικὲς
δὲ τὸ πρῶτον. ἐν μέσῳ δὲ ἀμφοῖν ἐστὶ τὸ δεύτερον. τὸ δ' ἐσ-
χάτως ἄπεπτον ὅπερ ἐστὶ τὸ ὑδατῶδες ἀκριβῶς. οἷον ἀ-
πεγνωσμένης πέψεως σύμπτωμα τοῦ φλεβώδους γένους
ὑπάρχον. ὅταν δὲ καὶ ταχὺ διεξέρχηται. ὁ καλούμενος
διαβήτης γίνεται. ἀλλὰ τούτων μὲν ἀπέπτων οὔρων
τὸ χείριστόν ἐστιν. ἐφεξῆς δ' αὐτῶν τὸ λευκὸν οὕτως καὶ λευ-
κὸν οἷον τὸ ὕδωρ. τούτων δ' ἐγγύς ἐστιν οὖρον ἕτερον ἐν πολ-
λοῖς χρόνοις φαινόμενον ὡς οἶνον δοκεῖν ἱκανῶς ἔχειν τὴν
χρόαν. τὸ δ' ὕπωχρον ἐφεξῆς ἐστὶ τούτῳ. τὸ δ' ὠχρὸν ἤδη μὲν
ἂν ἤδη τοῦτο καὶ ὑπόπυρρον. πέττεται δ' ἤδη τῆς χρόας
ἕνεκα. χρὴ δ' αὐτὸ καὶ τῷ πάχει τοσοῦτον ἀποκεχωρη-
κέναι τοῦ ὑδατώδους. εἰ μέλλοι πεπέφθαι καλῶς, ὅ-
σον καὶ τῷ χρώματι. εἰ δὲ τὴν κατὰ φύσιν χρόαν ἀκριβῶς
φυλάττοι ὑπόστασιν λευκὴν καὶ λείαν καὶ ὁμαλὴν καὶ
πολλὴν ποιοῖτο. πέττεται μὲν ἂν εἴη ἀκριβοῦς γνωρίσμα-
τα. πλείονα ἢ τὸν ὠμὸν χυμὸν ἐκκαθαίρεσθαι. κἂν πα-
χύτερον δὲ ἢ μετρίως. καὶ ἔχῃ τινὰ ὑπόστασιν, οὐ πάντως
ἤδη πεπέφθαι. εἰ γὰρ ἢ τι κριμνώδης ἢ πεταλώδης
ἢ πιότερον ὑπόστασις ἔχοι. πρὸς τὸ πᾶν τὸ τοιοῦτον ἄπεπτον εἶναι
καὶ ἄλλως ὀλέθριον ὑπάρχειν. τὰ δ' εὔχροα τε ἅμα
καὶ ἤτοι τὰς ὑποστάσεις λευκὰς καὶ λείας καὶ ὁμαλάς.
ἢ νεφέλας τινὰς ὁμοίας. ἢ ἐναιωρήματα ποιούμενα.
πάντων ἐστὶν οὔρων τὰ χρηστότατα. καὶ μάλιστα μὲν
ὧν ὑπόστασις ἐστὶ τοιαύτη. δευτέρα δ' ὧν ἂν ἐναιωρήμα-
τα. τρίτα δ' ὧν αἱ νεφέλαι καὶ ἁπλῶς τοῖς οὔροις ἐμφε-
ρόμενα

χρησῶς, ὅσῳ περ ἂν ἔφθασαν ἐγκάτω, τοσούτῳ βελτίω
γίνεται.

## Περὶ πτυσμάτων ε'

Ὅσα μὲν ὑπόξανθα τέ ἐστι καὶ ὑπόπυρρα καὶ ὕπαφρα καὶ λεπτά, μόνης ἀπεψίας ὑπάρχει γνωρίσματα. κακὸν ἢ οὐδὲν ἐπίσημον ἐνδείκνυται. τὰ δ' ἀκράτως ξανθὰ καὶ πυρρὰ καὶ ἀφρώδη καὶ χλωρὰ καὶ γλίσχρα καὶ στρογγύλα, καὶ τούτων ἔτι μᾶλλον τὰ μελανά, μοχθηρά. πλὴν γὰρ τοῦ αἵματος ὅστις αὐτῶν ἄλλων χυμῶν κακίαν μοχθηρὰν ἐνδείκνυται τὴν διάθεσιν. ἐπὶ θερμότητος φλογώδους τὴν γένεσιν ἔχων χυμῶν κακίαν μοχθηρὰν ἐνδείκνυται τὴν διάθεσιν. ἐπὶ θερμότητος φλογώδους τὴν γένεσιν ἔχων. τὰ δὲ ἐξ οἰῶν αἱματώδη τε καὶ φλεγματώδη πτύσματα μέτρια. τὰ δ' ἢ ξανθῆς ἢ μελαίνης, χαλεπά. προσεπισκέπτεσθαι δὲ δεῖ. καὶ τὸν τῆς ἀναγωγῆς αὐτῶν τρόπον. καὶ γὰρ εὐπετῶς ἀναπτύοιτο. πρόδηλον ὡς τὰ τοιαῦτα μέν ἐστιν ἀγαθά. τὰ δ' ἐναντία μοχθηρά. τελέας μὲν οὖν ἐστι πέψεως γνωρίσματα, τὸ πτύελον ὅταν ᾖ λευκόν τε καὶ λεῖον καὶ ὁμαλόν. καὶ τῇ συστάσει, μήθ' ὑγρὸν, μήθ' ὑπερ παχύ. παντελῶς ἢ ἀπεψίας τὸ μηδόλως ἀναπτυόμενον. εἰ δ' ἢ πτύοιτο μέν, ἀλλὰ λεπτὸν ἔτι πέψεως ἀμυδρᾶς ἐστι σημεῖον. εἰ δὲ καὶ ἄκρατον ἢ ὑπόπυρρον ἢ ξανθὸν οὐκ ἀγαθόν. εἰ δ' ἢ πελιδνὸν καὶ ἰῶδες ἢ μέλαν ὀλεθριώτερον. πελιδν

## Περὶ ἐφημέρων πυρετῶν ς'

Τοῦ ἐφημέρου πυρετοῦ ἴδιον καὶ ἀχώριστον σημεῖόν ἐστιν ἡ τῶν οὔρων πέψις ἐν τῇ πρώτῃ τῶν ἡμερῶν. καὶ τὸ τῆς θέρμασι ἡ ἡδύ τοιούτων πυρετῶν ἴδιον καὶ ἀχώριστον ἐστὶ μετὰ ἤτοι τὴν πρώτην λῦσιν τοῦ πυρετοῦ, πιστότερον ἐξῆς τῶν διάγνωσιν. ἡ τε γὰρ τῶν ἀρτηριῶν κίνησις ἐν τούτῳ δὲ καθάπερ ὁμοιοῦται τῷ τῶν ὑγιαινόντων οὐδενός

κατὰ τὸν. ex gal. p°
De arte curat. ad Glauco.

μὲν ἐξ ἀρχῆς, χρὴ τοῖς τυχοῦσιν
ἰᾶσθαι καὶ λουτροῖς, ἀλείφειν ἥκιστα
δ᾽ ἐλαίῳ λιτῷ καὶ ψιλῷ. ex
Paul. lib. 2. cap. 12.

τῶν ἄλλων πυρετῶν ἐστὶ κατὰ φύσιν ἐπανιόντος.
καὶ ἡ τοῦ κάμνοντος δὲ εὐφορία μέγιστον καὶ αὐτὴ
σημεῖόν ἐστιν. ἀναλωτοὶ τοῖς τοιούτοις πυρετοῖς, ἐφ᾽ ὧν αἱ ἢ τοι
ἀπόρροιαι τοῦ σώματος εἰσὶν οὐ καπνώδεις, ἀλλὰ δριμύ-
τε καὶ οἷον καπνῶδες ἔχουσιν. οὗτοι δ᾽ εἰσὶ θερμοὶ καὶ ξη-
ροὶ τὴν κρᾶσιν, καὶ ὅλως πικρόχολοι. τοὺς δὲ ἐπὶ κόπῳ
πυρέξαντας, μὴ ἱδρῶτι ἅμα καὶ μαλακῶς ἀναβαί-
νειν καὶ λούειν. τοὺς δ᾽ ἐπὶ ξηρότητι διαβαίνειν ἔλαττον ὕ-
των. λούειν πλεῖστ. τοὺς δ᾽ ἐπὶ φροντίσι καὶ λύπαις καὶ ἀ-
γρυπνίαις καὶ θυμοῖς, λούειν μὲν μὴ πολλάκις. ἐλαί-
ῳ δὲ πολλῷ χλιαρῷ ἥκιστα μετέχοντι στύψεως ἀναβαίνειν
βραδέως, καὶ λούειν ὡς ἔθος. τοῖς δὲ περικαύσεσιν ἀτε-
ως ἥκιστα δ᾽ ἐλαιώδει ψιλῷ χρῆσθαι ἢ τυχόντα ῥόδ-
ινον ἔσω καὶ ἔλαιον ὀμφάκιον χωρὶς ἁλῶν ἐσκε-
νασμένου. τυχόντα δ᾽ αὐτὰ σφοδρῶς καταχεῖν δεῖ
κατὰ τοῦ βρέγματος καὶ λούειν, ἀκμάζοντος τοῦ
πυρετοῦ. εἰ δέ τις πυρέξει τυχὼν, καὶ τοῦτον λούειν
ἐν ταῖς παρακμαῖς. ὥσπερ ἅμα κατάρρῳ πυρέττοισιν
πρὶν πεφθῆναι λούειν χρή. τοὺς δὲ ἐπὶ ἐγκαύσει καὶ
τούτων παρόντων λουστέον. τοὺς δ᾽ ἐπὶ ψύξει θερμαί-
νουσι μετρίως, διαβρέχειν τὴν κεφαλὴν οἷον ἐστὶ τὸ
ἴρινον καὶ τὸ νάρδινον. ἐφ᾽ ὧν δὲ ἡ στέγνωσις πυρε-
τὸν ἐργάζεται, τούτοις ἁρμόττει λουτρὰ τῶν κεῶν ὑδά-
των εὐκράτων. καὶ τρῖψις ἀραιωτική. καὶ γυμνα-
σία. καὶ δ᾽ αὐτὰ γλυκόχυμος ἰδὲ καὶ διὰ σιτίαν τάνοι
τὸ πυρετός, τοῦ πρώτου παροξυσμοῦ παρακμάζοντος,
ἐμβαίνειν εἰς τὸ βαλανεῖον αὐτοὺς καὶ χλιαρὸν ἔλαιον πλεῖον
στον καταχεῖν. ἀναβαίνειν τε πρᾳότατα. καὶ τὸ πλεῖν
τοῦ χρόνου τὴν θερμὴν δεξαμενὴν διαβαίνειν. ἐξελθόν-
τα δὲ καὶ ἀναλαβόντα τὴν δύναμιν, ἐμβαίνειν εἰς τὸ λου-

τρόν

καὶ μετὰ χυμῶν πίνοντα θερμὸν ὕδωρ· διδόναι πτισάνης
χυλὸν, ἐνίοτε δὲ καὶ θριδακίνης· καὶ τῶν ἁπαλοσάρ-
κων ἰχθύων ἐν ζωμῷ λευκῷ· κοινὸν δὲ πάντων ἔστω,
ἔξω τῆς διαίτης ἄπεπτον· ἄχυμον· οὐδαμόθεν κατὰ
τοὺς πόρους ἰσχόμενον· οἶνον δὲ διδόναι τὸν ὑδατώδη
καὶ ὀλίγον καὶ δυνάμει· δεῖ δὲ καὶ τὴν πρώτην εἰς βολὴν
ἐνίοτε τὴν τοῦ παροξυσμοῦ τούτων τινὰ φέρειν· ἐφ᾽
ἡ δυσκρασία τοῦ σώματος ἐπὶ τὸ θερμὸν καὶ ξηρὸν ἐκτρε-
πομένη, πυρετοὺς ἀνάπτει· οἱ δ᾽ ἐπὶ βουβῶσι πυρέξαν-
τες· οὐδέπω θανόντων τῶν ἰατρῶν ὅτι χρὴ ποιεῖν· ἀλ-
λὰ τοῦ ἕλκους· ἐφ᾽ ὃν ἂν ὁ βουβὼν γένηται προνοησάμε-
λουόντων κατὰ τὴν παρακμὴν τοῦ γενομένου παροξυσ-
μοῦ· ἔπειτα δὲ αὐτοὺς οἴνῳ προσήκει πρὶν τοὺς βουβῶνας
λυθῆναι· καὶ λεπτότερον διαιτᾶν:— Γαληνοῦ

περὶ τῶν ἐπισημαινόντων πυρετῶν διαγνώσεως·

Τῶν ἐπισήμων πυρετῶν διάγνωσις· τὴν μὲν δὴ ἐκ προ τῶν
καταρκτικῶν αἰτίων μὴ ζητεῖσθαι· καὶ τὸ ἀπὸ ῥίγους
ἢ ἄρξασθαι τὸν πυρετὸν· οὐχ ἱκανὸν ἐστί· οὐδὲ μὴν τὸ ἐξ
ἰσχυρᾶς προκινησαμένης· ἴδιον ἐστὶ καὶ αὐτὸ τῶν ἐπι-
σκεπασθέντων πυρετῶν· ὥσπερ καὶ τὸ τῆς θλίψεως τῶν
σφυγμῶν οὕτως ὀνομάζουσιν, ὅταν ἀρχομένου τοῦ
παροξυσμοῦ μικροὺς ἱκανῶς ἔχουσι καὶ ἀνωμάλους
αὐτούς· ἴδιον γάρ ἐστιν ἐξαίρετον τοῦτο τοιούτων πυρε-
τῶν· μέγιστον δὲ γνώρισμα τῶν ἐπισήμων πυρετῶν ἐ-
στὶ καὶ ἡ τῆς θερμασίας ποιότης· καπνώδης γάρ ἐστιν,
ὡς διαγινώσκειν τῇ ἁφῇ· ἴδιον ἐστὶ μάλιστα τῶν τοιού-
των πυρετῶν· καὶ ἡ τῶν οὔρων ἀπεψία· καὶ ἡ ἀμέσου
δραπέτις μεγάλη καὶ ἀξιόλογον γνώρισμα τοῖς
πρώτοις οὔροις οὐδέποτε φαίνεται· κατὰ τοὺς τοιού-
τους πυρετούς:—

## Ἴασις τῶν ἐπὶ σηπεδόνι πυρεττόντων

η Τῶν δυνάμεων ἰσχυρῶν ὑπαρχουσῶν τὸν ἐπὶ σηπεδόνι πυρέξαντα φλεβοτομητέον αὐτίκα χωρὶς ἀπεψίας τῆς ἐν τῇ γαστρί· τῆς δυνάμεως ἀσθενοῦς ὑπαρχούσης, ἢ κωλυούσης τῆς ἡλικίας, οὐ φλεβοτομητέον· μετὰ δὲ τὴν κένωσιν τοῦ σώματος, ἐκκαθαίρειν χρὴ τὰ σεσηπότα δι' οὔρων· καὶ γαστρὸς καὶ ἱδρώτων· ἐὰν αὐτόματα ποτὲ τὴν ὁρμὴν ἐπὶ τὸ σῶμα τῆς γαστρὸς ποιῆται· καὶ δι' ἐμέτων· ἄλλως δὲ οὐδὲ χρὴ παρὰ φύσιν ἐρεθίζειν· ἐκλεκτέον δὲ πάντα τὰ ἰδέαι χωρὶς τοῦ θερμαίνειν καὶ ξηραίνειν ἱκανῶς τὰς εἰρημένας κενώσεις ἐργάζεσθαι· καθάπερ ὅ τε τῆς πτισάνης χυλὸς καὶ τὸ μελίκρατον· ὀξύμελί τε καὶ ἀπόμελι· καὶ ἡ τοῦ δολιχίνου ῥίζα· μὴ ὑποχωρούσης δὲ τῆς κοιλίας κλύζειν μελικράτῳ δὲ ἐλαίῳ· τὸ δ' ὅλον σῶμα πρὶν μὲν κενωθῆναι μανοῦν οὐ χρή· κενωθέντα δέ, εἰ χωρεῖ μανοῦν φαρμάκῳ χλιαρὸν ἔχοντι τὴν θερμασίαν ὁποῖόν ἐστι τὸ διὰ τοῦ χαμαιμήλου· ἐν τούτῳ τῷ καιρῷ καὶ οἶνος πινόμενος ὑδατώδης, ἀπαθὴς κἂν εἰκὰς ἐκκρίσεως· καὶ λουτρὸν εὔκρατον ἐκ γλυκέος ὕδατος· ἀλλ' ὅταν ἀνθίστηται τὸ μέγεθος τοῦ πυρετοῦ, οὔτ' οἴνῳ χρηστέον· οὔτε λουτρῷ· οὔτ' ἀλείμματι θερμαντικῷ· ἀλλὰ τὸ ψυχρὸν ὕδωρ ἐν τούτοις τοῖς πυρετοῖς πινόμενον ἐπιτηδειότατον· εἰ μή τι καὶ τοῦτο κωλύει· εἰ μὲν οὖν αἱ δυνάμεις ἰσχυραὶ πᾶσαι τυγχάνουσιν οὖσαι, καὶ ὁ πυρετὸς διακαέστατος· καὶ τὰ τῆς πέψεως ἐν οὔροις σημεῖα· τὸ ψυχρὸν διδόναι θαρροῦντος· εἰ δὴ καὶ ἀσθενὴς εἴη, καὶ ἡ κατάστασις θερμὴ καὶ ξηρά, κἂν εἰς κολυμβήθραν ἑαυτὸν ἐμβάλλῃ ψυχράν οὐ βλαβήσεται· μετρίου δ' ὑπάρχοντος τοῦ πυρετοῦ καὶ τῶν δυνάμεων ἰσχυρῶν ἅ-

μα

τοῖς τῆς ... ἐσθιομένοις, ὠφελεῖ τοῖς τοιούτοις τὰ
βαλαύστια καὶ ἡ τοῦ οἴνου πόσις· ἀλλὰ πάντα τῶν
ἀσθματικῶν μανωτικά:—

### περὶ τριταίου

Ὁ δὲ τριταῖος πυρετὸς γίνεται μὲν ὑπὸ τῆς ξανθῆς κι-
νουμένης, ἄρχεται δὲ καταρχὰς ῥῖγος οὐκ ἀγεννὲς ἐπιφέρ-
ει· διαφέρον τοῦ τεταρταίου ῥίγους, τῷ κεντεῖσθαι δοκεῖν
καὶ τιτρώσκεσθαι τὸν χρῶτα· ἐν δὲ τοῖς τεταρταίοις
ἡ ψυχρὰ κατὰ τὸ ξεῖν ἔχει σφοδροτέραν τῶν ἀμφημερι-
νῶν οὐ προηγεῖται ῥῖγος· ἀλλὰ ποτὲ τυγχάνουσι μό-
νον· ἔστι δὲ ἐν τοῖς τεταρταίοις καὶ τάξις ἀκριβὴς τῶν
σφυγμῶν· ἐπιφέρει δὲ ὁ σφυγμὸς κατὰ τὰς ἀκμὰς ὁ τρι-
ταῖος σφοδρὸν· καὶ ταχὺν καὶ πυκνὸν· καὶ μικρὸν ὕ-
στερον ἀκμάζει· τὸ θερμὸν ὁμαλῶς ἐκτείνεται πάντη·
ἐὰν δὲ ἐπιβάλλοις τὴν χεῖρα κατὰ μὲν τὴν πρώτην ἐπιβο-
λὴν ἀπαντᾷ θερμασία πολλὴ καὶ δριμεῖα· καὶ οἷον
μετὰ ἀτμοῦ τινὸς ἀναφερομένη· νικᾶται δ' ὀλίγον
ὕστερον ἀπὸ τῆς χειρός· πίνοντος δὴ τοῦ κάμνοντος αὐ-
τίκα δὴ μάλα πλῆθος, ἀνίησιν ἀτμοῦ θερμοῦ ἐκ
τοῦ δέρματος· ἔμετος δὲ ἐπιφαίνεται χολῆς· ἢ γαστὴρ (margin: ἢ ἱδρῶτ)
που κατέρρηξε· καὶ οὐροῦσι χολώδη· ἐπὶ τούτοις
εἰς ἀπυρεξίαν παύεται τὸν σύμπαντα χρόνον τοῦ
παροξυσμοῦ ὡρῶν οὐ πλειόνων παυομένων· ἀκρι-
βῆ τριταῖον ὀνομάζομεν· ὅστις ἂν ἔχῃ πολυχρονιώ-
τερον τύχῃ τὸν παροξυσμὸν ἐκεῖνον· ἁπλοῦν τριταῖον ὀ-
νομάζομεν· ὅστις ἂν ἐπὶ πλεῖστον ἐκτείνηται τὸν
παροξυσμὸν· ὀλίγον τε τὸ διάλειμμα· τοῦτον οὖν πά-
λιν ὀνομάζομεν ἐκτεταμένον τριταῖον:—

### θεραπεία τριταίου

Τὸν ἀκριβῆ τριταῖον, ὡς ἂν ὑπὸ τῆς ξανθῆς χολῆς γινό-
μενον ὑγραίνειν τε καὶ ψύχειν· καὶ τοὺς ἐς τάσιν

(margin: χολῆς)

Ῥυονάρενα ex paul. lib. 2. c. 17.

τβ

συρρέον, κενοῦν δὲ μετά τε καὶ κάτω. καὶ τοῖς οὔροις
τε καὶ τοῖς ἱδρῶσι ποδηγεῖν. τὴν μὲν οὖν γαστέρα μα-
λακοῖς κλύσμασι κινεῖν. τὰ δ᾽ οὖρα προσάπτοντας ἡδυό-
σμου τε καὶ ἀνήθου τοῖς πόμασιν ἀποβρέχοντα. καὶ ἐπειδὰν
τὰ σημεῖα πέψεως φαίνηται, θαρρῶν ἤδη καὶ τοῦ ἀψιν-
θίου διδόναι. λούειν δὲ ὕδατος θερμοῦ ποτίμου. καὶ
μήτε νίτρου. μὴ θαλῶν. μήτε νάπυος ἐν τοῖς λουτροῖς
προσπάττειν. ἀλλ᾽ ὅτι μάλιστα θερμὸν ἔλαιον περιχέειν.
ἐμβιβάζειν. τοὺς δὲ φιλολούτρους οὐδὲν ἧττον λου-
τέον ἀμφοτέραις ἄν. ἐὰν δὲ καὶ πέψεως σημεῖα τῆς νόσου φαί-
νοιτο, κἂν ἔτι πλεονάκις λούεις ἀμφοτέραις ἄν. ἐὰν δὲ καὶ
πέψεως σημεῖα τῆς νόσου φαίνοιτο κἂν ἔτι πλεονάκις
λούοις οὐ κἂν ἀμφοτέροις. οἴνου δὲ πρὶν πέττεσθαι τὸ
νόσημα παντάπασιν εἴργειν. ἀρξαμένου δὲ πέττεσθαι
λεπτὸν καὶ ὑδαρές καὶ ὀλίγον. τήν τε πρώτην διδόναι.
σιτία δὲ ὅσα εὐτραφῆ καὶ εὔχυμα χρήσιμα. ἀπέχειν δὲ μέ-
λιτος καὶ νάπυος καὶ ταρίχου. καὶ τῶν δριμέων πάν-
των καὶ οἴνων τῶν φύσει θερμῶν.

## θεραπεία νόθων πυρετῶν

Τά

Λουτέον ἐπὶ τῶν νόθων πυρετῶν κατ᾽ ἀρχὰς οὐκ ἀγαθόν.
ἀλλ᾽ ὅτι κἂν φαίνηται τὰ σημεῖα τῆς πέψεως. οὔτε καθυ-
περθεν τρέφειν. ἀλλ᾽ ἀρκεῖ παραμείαν ἡσυχία ἢ καὶ θάλ-
ψις τῶν καθ᾽ ὑποχόνδριον αὐτῆς συμφέρει. καὶ ῥοφήμα-
τα ἀπέπτοτα. καὶ κλύσματα τῆς κάτω γαστρὸς μὲν πά-
νυ μαλακά. καὶ αἵματος ἀφαιρέσεως χρεία, μὴ
δὲ τοῦτο παραλιπεῖν. ἡ δὲ ὅλη τῆς διαίτης κατάστασις,

ἢ καὶ ὑγραίνοντα

οὐ τύχοιτο, ἀλλά τι τοῦ τμητικωτέρου τρόπου παρα-
βαλέσθω. μάλιστα δὲ ἂν ἁρμόσειεν αὐτοῖς ὁ τῆς πτισ-
σάνης χυλὸς ἐμβαλλομένου πεπέρεως ἐμβαλών
καὶ σὺν ἀψινθίου διδοὺ πίνειν. καὶ τὰ ἄλλα ὅσα

ἢ ὑσσώπου ἢ ὀριγάνου ἢ
στάχυος νάρδου. καὶ μελικράτου
δὲ ἢ πεπέρεως addenda ex
Paulo. lib. 2. cap. x.

ὅσοις χρήσιμον πίνειν, πλὴν τῶν σφοδρῶς θερμαινόντων τε
καὶ ξηραινόντων, μάλιστα ἢ τοῦ ἀψινθίου διδόναι
μετὰ τὴν ἑβδόμην ἡμέραν· καὶ μὲν δὴ καὶ ὀξύμελι
πολλοὺς πινόμενον ὤνησε· καὶ τι τῶν ἐπιεικῶν
ὑπηλάτων· ὁ δὲ ἐπὶ τοῖς σιτίοις ἔμετος, τοῖς οὕτω τῶν
πυρετῶν χρονίζουσι χρησιμώτατον.

## Τεταρταίων διάγνωσις

Ὁ τεταρταῖος τὴν εἰσβολὴν ποιεῖται μετὰ πολλῆς κατα- τε
ψύξεως· ἅτε ψυχροῦ χυμοῦ τῆς μελαίνης χολῆς τὴν γένε-
σιν ἔχων· ἀλλὰ τὸ θερμὸν καὶ διακαὲς ἐκ τοῦ πυρε-
τοῦ καθάπερ ὁ τριταῖος· ἀλλ' οὐδ' ἡ χολῆς ἔμετος παρακο-
λουθεῖ· ἐπὶ τούτοις λευκὰ καὶ λεπτὰ οὖρα τυγχάνει,
τεταρταῖος ἂν εἴη ὁ πυρετός· ἐξαίρετον δ' ἐν τεταρταίῳ
γνώρισμα μετὰ τὸ ἀραιὸς σφυγμός. :καὶ

## Θεραπεία τεταρταίου

Τοὺς τεταρταΐζοντας πράως ἄγειν· μήτε φαρμα- ιγ
κον μηδὲ ἰσχυρῶς προσάγοντας μήτε κενώσει· εἰ μή
τι ἄρα φαίνοιτο πλεονάζειν αἷμα ἡνίκα χρὴ φλεβο-
τομεῖν· διαιτᾶν δὲ ἄφυσον καὶ χρηστὴν προσφέρειν.
καὶ μαλάττειν τὴν γαστέρα διὰ τῶν συνήθων· εἰ μὴ δὲ
ἀνύεται ταῦτα· κλύσμασι χρῆσθαι κατ' ἀρχὰς μαλακοῖς·
ὕστερον δὲ καὶ δριμυτέροις· χοιρείων δὲ κρεῶν εἴργειν αὐ-
τούς· καὶ πάντων ὅσα γλίσχρα καὶ βραδύπορα· καὶ
τῶν ψυχόντων καὶ ὑγραινόντων ἐδεσμάτων ἁπάντων·
οἴνῳ δὲ χρῆσθαι λεπτῷ καὶ θερμῷ καὶ συμμέτρως θερμῷ.
ταριχηρῷ δὲ καὶ νάπυϊ χρῆσθαι καὶ δι' ἡμερῶν τινῶν τοῦ δια- :
βίων πεπέρεως δὲ μόνου σὺν ὕδατι λαμβάνειν κα- ἢ τοῦ διοσπολιτικοῦ φαρμάκου· ἢ τοῦ πεπέρεως μόνου σὺν ὕδατι λαμβάνειν
θ' ἑκάστην ἡμέραν. ὀρθῶς ἂν ποιοῖεν· εἰ δὲ ἐν ἀρχῇ
τοῦ νοσήματος ὁ κάμνων, τότε χρὴ διαιτᾶν μὲν λεπτό-
τερον ἀθρόως ἢ καὶ ἡσυχάζειν κελεύειν ἐς μακρὸν καὶ τῶν

λευκοῦ Kant. li. 2
cap. κβ.

+ μελαπλούντων ex paul. li. 2.

σπλάγχνων προνοεῖν, διὰ τῶν μελαπλούντων· καὶ χα-
λώντων· ἐφεξῆς δὲ τοῖς οὐρητικοῖς φαρμάκοις χρῆσθαι,
καὶ εἰ τὰ τῆς πέψεως φαίνοιντο σημεῖα, καθαίρειν τη-
νικαῦτα τοὺς μελαγχολικοὺς χυμοὺς οὐχ ἅπαξ μόνον·
ἀλλὰ καὶ πλεονάκις· μετὰ δὲ σφοδρὰν κάθαρσιν· καὶ
τοῦ διὰ ἐχιδνῶν φαρμάκου διδόναι· καὶ τῶν ἄλλων δὲ
τῶν πρὸς τοὺς τοιούτους ἐπαινεῖται πυρετοὺς ἐν οἷς ἐστι
καὶ τὸ σὺν [illegible] ἁπάντων ὀποῦ κυρηναϊκοῦ λαμ-
βάνειν:— ἀμφημερινοῦ διάγνωσις

τα Ἀμφημερινὸς οὐδαμῶς μετὰ ῥίγους εἰσβάλλει κατὰ τὴν
πρώτην ἡμέραν· ἀλλὰ καὶ προήκοντος τοῦ χρόνου
περίψυξις μᾶλλον ἢ ῥῖγος γίνεται· οὔτε ἀκμάζοντος
δέ ἐστι· καὶ πολυχρόνιον ἔχει τὴν ἀνάβασιν· οὐ μὴν οὐδὲ
δίψα καίει τοὺς κάμνοντας· οὐδὲ πολὺ πυκνὸν ἀναπνεῖν
ἀναγκάζει· οὐδὲ ἐκφυσᾶν καὶ πίνειν ψυχρόν· γίνονται
δὲ καὶ φλεγματώδεις ἔμετοι· καὶ ὅσα διὰ γαστρὸς ἐκ-
κενοῦνται ψυχρότερα καὶ ὠμότερα· καὶ ὑδατωδέστε-
ρα ἐν τούτοις τοῖς πυρετοῖς εὕρηνται· καὶ ἱδροῦσιν ἥκιστα
περὶ τὰς πρώτας ἡμέρας· οὐδὲ εἰς ἀπυρεξίαν ἔρχονται
καὶ ὠχρόλευκος δὲ τούτοις ἡ χροιά· τὰ δὲ οὖρα λεπτά· καὶ
λευκά· ἢ παχέα καὶ θολερά· καὶ ἐρυθρά·

θεραπεύοντες τε θεραπεία ἀμφημερινῶν· Θεραπεία τὸν ἀμφη-
μερινόν, ὀξυμέλιτι χρώμεθα κατὰ τὰς πρώτας ἡμέρας·
καὶ τοῖς οὖρα προτρέπουσι καλῶς δυναμένοις· καὶ
τὸ σίρυπαν σοι τῆς δι' αὐτῆς ἕδος, ἐμετικὸν ἔξω· περὶ
δὲ τὴν ἀκμὴν χρὴ προνοεῖσθαι τῆς γαστρός· μάλιστα
δὲ τοῦ στόματος αὐτῆς· κάππαριν καὶ ἐμεῖν ἀπὸ ῥαφα-
νίδων καὶ σιτίων κελεύειν· καὶ τοῖς φλέγμα [illegible]
ὑπηλάτοις χρῆσθαι:— περὶ συνεχῶν πυρετῶν.
15 Συνεχεῖς ὁμολογουμένως πυρετοὶ καλοῦνται ὅσοι ἅπαξ [illegible]

+ θεραπεύοντες paul. li. 2.

λ[illegible] ex gal. p.o ad glau.

διαλειπόντων τριταίων· καὶ ἀκριβὴς ὁ ἀκριβὴς καῦσος· ἀμ-
φημερινὸς δὲ· ὁ καθ᾽ ἑκάστην ἡμέραν παροξυνόμενος.
εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενος· οὕτω δὲ καὶ τεταρταῖ-
ος ὁ διὰ τετάρτης· ὅτε γὰρ ἀκριβὴς καῦσος τἆλλα πάν-
τα φυλάττων ἀκριβῶς τριταίου γνωρίσματα μόνῳ
τῷ μὴ μετὰ ῥίγους εἰσβάλλειν· μήτε εἰς ἀπυρεξίαν
μενήνοχ παύεσθαι, ὅτε καθ᾽ ἑκάστην ἡμέραν παροξυνόμενος.
ὁμοίως πάντα ἔχει τὰ γνωρίσματα τοῖς ἀκριβέσιν ἀμ-
φημερινοῖς· τῷ μὴ παύεσθαι δὲ εἰς ἀπυρεξίαν διαφέ-
ρει τοῦ ὁμογενοῦς ἀμφημερινοῦ· ὁμογενὴς ἐστὶν αὐτοῖς.
κατὰ ταὐτὰ δὲ καὶ ὁ διὰ τετάρτης μὲν παροξυνόμενος.
εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενος, ὁμογενὴς ἐστὶ τῷ
τεταρταίῳ· συνεχὴς δὲ οὕτως ἐστὶ πυρετὸς· ὃς εἰς ἀπυρε-
ξίαν πρὶν τελέως λυθῆναι μὴ παυόμενος· ὅταν δὲ
μηδὲ παρακμή τις φαίνηται τοῦ γένους μὲν ἐστὶ καὶ
οὗτος τῶν καυσωδῶν· ὀξὺ δέ τι διαφέρει τῶν συνεχῶν.

## Θεραπεία συνεχῶν πυρετῶν

Τῶν συνεχῶν πυρετῶν ἴασις ἐστὶ φλεβοτομία ἄχρι λει- ιζ
ποθυμίας· μὴ φλεβοτομηθέντες δὲ οἱ τοιούτῳ πυρετῷ
πυρέττοντες, εἰς ἔσχατον ἥκουσι κίνδυνον· εἰ δὲ μὴ ἐστὶ
καλῶς κενῶσαι διὰ φλεβοτομίας· τοῖς ἄλλοις δὲ χρῆ-
σθαι βοηθήμασι τοῖς ἐκφράττουσι· καὶ τὸ πλῆθος κενοῦ-
σι· καὶ πραΰνουσι τὸ ζέον τῶν πυρετῶν· ὅταν δὲ ἐπὶ τού-
των ἴδῃς ἤδη τὰ τῆς πέψεως τῶν χυμῶν σημεῖα· καὶ μή-
τε κυρίῳ μορίῳ φλεγμονώδης ὄγκος· ἢ οἰδηματώδης
ἢ σκιρρώδης ᾖ· μήτε τι μόριον ψυχρὸν ὡς εἰς αὐτὸ κα-
τασκῆψαι τὴν βλάβην· θαρρῶν δίδου ναὶ τὸ ψυχρόν· καὶ
μάλιστα εἰ ψυχροπότης ὁ κάμνων ᾖ.

## Καύσων διάγνωσις

Τοῖς καύσοις παρακολουθοῦσι συμπτώματα, γλῶσσα ιη

μετὰ ξηρὰ καὶ τραχέα καὶ μέλαινα· δὴ ἕξις ἡ τῆς γαστρὸς
καὶ ὑποχωρήματα ὠχρά· καὶ δυσφορία· καὶ ἀγρυ-
πνία πολλὴ καὶ παραφροσύνη. — καύσων θεραπεία.
Γαθ τῶν δύο τούτων ἀναγκαῖον ἐστὶν ἐπὶ τῶν καύσων τὸ ἐπιζοντε-
νέσθαι· εἰ μέλλοι λυθήσεσθαι τελέως, ἢ ἐκκριθῆναι τοὺς χο-
λώδεις χυμοὺς ἢ σβεσθῆναι· ἐκκρίνονται μὲν οὖν ἢ δι᾽ ἐμέ- ἀνθυγρῶν
των ἢ διὰ τῆς κάτω γαστρός· σβέννυται ἢ διὰ ψυχροῦ πόσε-
ως ἢ διὰ παντὸς ἐθεραπεύσαμεν ἡμεῖς τοὺς καυ· δεῖ διαιτᾶν δὲ τοὺς
καυσουμένους οὔτε ὕδατος μόνου προσήκει· οὔτε ἐπὶ μελι-
κράτου μόνου· ἀλλ᾽ ὑδαρὲς μελίκρατον ἐφθὸν διδόναι· δεῖ
γὰρ τοὺς οὕτω νοσοῦντας ἐπὶ μόνων τῶν πομάτων διαιτᾶ-
σθαι· λουτρὸν ἢ τοῖς καυσωδῶς νοσοῦσιν ἐκείνοις ἁρμόσει
μόνοις, ὅσοι χωρὶς ὄγκου φλεγμονώδους· ἢ ἐρυσιπελατώδους.
ἐὰν ἢ καὶ πέψεως ἔχουσι γνωρίσματα, πολὺ μᾶλλον αὐ-
τοῖς ἁρμόσει· τοῖς ἢ διὰ λυπρὸν χυμὸν καυσωδῶς νοσοῦσιν
οὐχ ἁρμόσει· τούτους ἢ καὶ χυλῷ πτισάνης τρέφειν προσή-
κει. — ἐπὶ ἐρυσιπελατώδους διαθέσεως πυρετοῦ θερα-
Γκ πεία .. Ἐν πυρετοῖς ἐπὶ ἐρυσιπελατώδει διαθέσει τοιωνι-
σαμένοις, ἀπέχεσθαι μὲν οὖν χρὴ βαλανείου τὸ σύμπαν·
ὕδατι μὲν ψυχρῷ πρὸς τὴν ἀκμὴν τοῦ νοσήματος χρηστέ-
ον αἰωνιστικῶ· τουτέστι ψυχρολουτῷ· ἐν ἀρχῇ δὲ οὐ χρηστέον·
ἀλλ᾽ ἔξωθεν ἐπιτιθέναι χρὴ τὰ ψύχοντα· καὶ ἐμβρέχειν
ἀνύης· καὶ εἴσω τοῦ σώματος ἀναγκάζειν λαμβάνειν· μά-
λιστα δ᾽ αὐτῶν ἁρμόττουσιν αἱ ὑγραὶ θριδακίναι· ἔξωθεν
ἢ καὶ αὐτὸς μὲν ὁ τῆς θριδακίνης χυλὸς ἐπιτήδειος· ἀλ-
λὰ καὶ ἀείζωον καὶ τἄλλα ψύχοντα κάλλιστον δ᾽ ᾧ δὲ μά-
λιστα χρώμεθα· τὸ γὰρ ὑγρὸν ἐκθλίψαντας τῶν ψυχόν-
των τινὸς· ἐμβάλλομεν ὀλίγῳ μετὰ ἀνδράχνης· εἶτα κόψαν-
τας ἐκπιέζομεν· ἐν στενῷ ἢ τὸ ἀγγεῖον ὕδατι ψυχρῷ μι-
γνύμενον ἐπὶ τῆς χρήσεως ὀλίγον ἀλφίτου λακοῦ· καὶ ἀναδή-
σαντας

ὀθόνιον δίπτυχον, ἐπιτείνομεν ἔξωθεν αὐτὸ κατὰ τῶν
ὑποχονδρίων· οὐκ ἐῶντας χρονίζειν· ἀλλ᾽ ἕτερον μέχρις
ἐπιτιθέντες· μιγνύομεν δὲ ἐνίοτε ἔλαιον ὀμφάκινον καὶ
ῥόδινον·

## Περὶ ἑκτικῶν πυρετῶν·

Ὁ ἑκτικὸς πυρετὸς· οὐκ ἐν ὑγροῖς καὶ τῷ πνεύματι συνίσταται μόνον· — κα
ἀλλ᾽ ἤδη καὶ αὐτοῖς στερεοῖς ἀνώδυνός ἐστι· καὶ νομίζουσιν
οἱ πυρέττοντες μὴ πυρέττειν ὅλως· οὐ γὰρ αἰσθάνονται
τῆς θερμασίας· ἁπάντων αὐτοῖς ὁμοίως ἐκτεθερμασμένων
τῶν μορίων· διττὸν δέ ἐστιν εἶδος τῶν ἑκτικῶν πυρετῶν· οἱ
μὲν γὰρ ἐπὶ τοῖς καυσώδεσι πυρετοῖς ὡς τὰ πολλὰ γί-
νονται· ἤτοι μὲν καυθεῖσιν εἰς τοσοῦτον ὡς ἐκδαπανηθῆναι τῷ
χρόνῳ τὴν ἰκμάδα τοῦ τῆς καρδίας σώματος· ἢ καὶ
μενούσης ἔτι συχνῆς· οὐδ᾽ ἔτι μενούσης τῆς ὑγρότητος·
γινόμενον τὸ σῶμα τῆς καρδίας καταλαμβάνοντες· ἐν
τούτῳ ἐναναπαύονται· ἡ μὲν οὖν δευτέρα μία γένεσις αὐτῶν εἴρηται· — :δη
καταλοιπος δέ ἐστιν ὅταν ἐξ ἀρχῆς εὐθέως εἰσβάλλωσι τὴν
πρώτην γένεσιν ὁμοίαν ποιησάμενοι τοῖς ἐφημέροις
ἐπὶ λύπῃ καὶ θυμῷ· καὶ κόπῳ πλείονι· μετ᾽ ἐγκαύσεως
ἅμα γινομένῳ· τούτους μὲν οὐ χαλεπόν ἐστιν ἰάσασθαι·
τοὺς δὲ ἐξ αὐτῶν εἰς μαρασμὸν ἀφικνουμένους, οὐ δυνα-
τὸν ἰάσασθαι· ὅτῳ μὲν δὴ συνεμπίπτων τῷ μαρασμῷ πυ-
ρετὸς ἑκτικός· ἑτοιμότατός ἐστι γνωσθῆναι· ὀφθαλμοὺς
γὰρ κοίλους ἀμέτρως θεάσῃ· καὶ λήμας κατ᾽ αὐτοὺς ἐμφε- — κατ᾽ αὐτούς
ρομένας ξηράς· καί τινα αὐχμώδη διάθεσιν· ἀπόλω-
λε δὲ καὶ τῆς χρόας αὐτῶν τὸ ζωτικὸν ἄνθος· καὶ τὸ μέ-
τωπον ξηροῦ καὶ περιτεταμένου· καὶ μέντοι καὶ μύ-
ουσιν ὡς τὰ πολλὰ καθάπερ ὑπνώττοντες· ἔστι δ᾽ οὐχ ὕπνος
τὸ πάθος· ἀλλ᾽ ἐγρήγορσις ἀδυναμία· καὶ κρόταφοι συμ-
πεπτωκότες εἰσὶ καὶ τί γὰρ ἄλλο ὅσα καὶ δέρμα μόνον
εἰσί· καὶ γινόμενοι ἐπισκέπτοιο τὰ κατὰ τὴν

σφοδρέφε καὶ

γαστέρα, δόξεις οἱ μήτε τῶν ἐντέρων· μήτε τῶν σπλάγχνων
μηδὲν ἀποσώζεσθαι· καὶ τὸ ὑποχόνδριον ἢ ἀνασπᾶσθαι
θερμῶς, καὶ τὸ δέρμα τὰ αὐτοῖς ἐσχάτως καρφαλέον ἐ-
στιν· ὁ σφυγμὸς ἰσχνὸς καὶ σκληρὸς· καὶ πυκνός· ἡ δὲ θερ-
μασία κατὰ μὲν τὴν πρώτην ἐπιβολὴν ἀμυδρά· με-
τὰ λίτον ἢ τὸ ἐρρίμων καὶ διαβρωτικὸν ἐνδείκνυται· μα-
χειμένου οὖν τοῦ σώζεσθαί τι τῆς ὑγρασίας, ἑκτικὸς μόνος
ὁ πυρετός ἐστιν· ὅταν δὲ εἰς κίνδυνον ἥκῃ τοῦ μηκέτι εἶναι
τῆς τοιαύτης ὑγρότητος μηδέν, ἀκριβὴς ἤδη μαρασμὸς συνί-
σταται:—

## ἑκτικῶν πυρετῶν θεραπεία

κβ' Οἱ ἑκτικῷ πυρετῷ νοσοῦντες, εὐθὺς ἐξ ἀρχῆς τρέφεσθαι δέ-
ονται, διὰ τὸ δακνῶδες τῶν χυμῶν· μάλιστα δ' ἅμα καὶ ὑ-
γραίνουσα δίαιτα· χρὴ οὖν ὅτι μάλιστα διὰ τῆς πτισά-
νης χυλοῦ καὶ χόνδρου ῥοφημάτων θρέψαντα καὶ ἄρτον
τι προσεπιδιδόντα· θεραπεῦσαι πόσει ψυχροῦ τὸν κά-
μνοντα μεμετρημένως οὐκ ἀτονιστικῶς· ὅταν μήτε
φλεγμονή τις αὐτῷ σύνῃ, μήτε σῆψίς τις χυμῶν· καὶ μεγά-
λην ἔσεσθαι στοχάζοιο βλάβην· ἐπέχειν μὲν δὴ τὴν πόσιν
τοῦ ψυχροῦ· τοῖς δὲ ἔξωθεν ἐπιτιθεμένοις, ψυκτηρίοις
ἰάμασι χρῆσθαι· καὶ βαλανεῖα τοῖς οὕτω κάμνουσιν
ἐπιτήδεια κατὰ πάντα καιρόν:

κγ' Περὶ ἡμιτριταίων· Τοὺς μὲν τριταίους μετὰ ῥίγους εἰσβαλ-
λοντας, τοὺς δὲ ἀμφημερινοὺς χωρὶς ῥίγους· ὁ μικτὸς ἐξ ἀμ-
φοῖν φρίκην ἐπιφέρει· ῥίγους μὲν ἔλαττόν τι πρᾶγμα·
μείζονα δὲ περιψύξεως· ὡς ἐκ κεραννυμένων γίνεται
τῶν ἄκρων· οὐκοῦν οὐδ᾽ ἀπὸ τρόπου τοὔνομα τὸ τοιοῦ-
τον πυρετῷ τὸν ἡμιτριταῖον ἐπέθετο· διττὸς δὲ ὁ τρόπος
τῆς γενέσεως αὐτῶν· ἤτοι συνελθόντων εἰς ἕνα καιρὸν τῶν
δύο παροξυσμῶν· ἢ ἀμέσως ἐξ ἀρχῆς· ἀνακεκραμένων
ἀλλήλοις ἀμφοτέρων· ὅταν μὲν οὖν ὁ τριταῖος ἐπικρα-

τῇ

φρικωδέστερος ὁ πυρετὸς γίνεται· καίτοι καὶ ῥίγους
προσλαμβάνει τὴν ἐπισημασίαν· εὐθὺς δ' ὁ τοιοῦ-
τος θερμότερός ἐστι· καὶ καυσωδέστερος· καί τινα χολῆς
ἔμετον· ἢ διαχώρησιν ἢ ἱκμάδα φέρει· θατέρου δὲ
τοῦ φλεγματώδους πλεονεκτοῦντος ἐπικρατοῦσι μὲν
αἱ ψύξεις τῶν ἄκρων· ὀλίγαι δ' εἰσὶν αἱ φρίκαι· οὐ μὴν οὐδὲ
διψώδης ἐστὶν οὐδὲ καυσώδης· ἐπειδὰν δ' ἴσον κατὰ τὸ μέ-
γεθος ὑπάρχουσιν· ὁ τριταῖος παραλείπων καὶ ὁ ἀμφη-
μερινὸς συνεχής· ἡ μὲν οὖν εἰσβολὴ τοῦ παροξυσμοῦ μετὰ
φρίκης γίνεται· καὶ ὡς εἰκὸς μὲν γὰρ ὁ φλεγματώδης ἐπι-
κρατήσας ἀθρόως ἐκθερμαίνονται· τοιοῦτος μὲν οὖν τίς
ἐστιν ὁ ἀκριβὴς ἡμιτριταῖος· ἐξ ἰσοσθενοῦς κράσεως δυοῖν
πυρετοῖν γινόμενος· τριταίου δὲ παραλείποντος καὶ
ἀμφημερινοῦ συνεχοῦς· ὁ δ' οὐκ ἀκριβὴς ἤτοι χολώδης
χυμὸν πλείονα κέκτηται· ἢ τὸν φλεγματώδη:

περὶ τῶν πανδήμων νοσημάτων

Πανδήμους καὶ κοινὰς νόσους τῶν πολλῶν ἅμα συμπι- κδ'
πτούσαις ὀνομάζουσιν· ὧν ὥσπερ ἡ γένεσις, οὕτω καὶ
ἡ αἰτία κοινή· κοινά τε οὖν ἐδέσματα πονηρὰ τίκτουσι
νοσήματα κοινά· καὶ ὕδατος μοχθηρὰ πόσις· ταλαι-
πωρίαι τε ἅμα ἑξῆς καὶ πόνοι συνήθεις ἐλλειφθέντες·
ἔνδειαί τε καὶ πλησμοναὶ λιμοῦ κατασχόντος· ἢ ἀφθονίας
γινομένης· καὶ χωρίου ἡ φύσις κοινὰ νοσήματα ἐπή-
νεγκεν· ἐνίοτε μὲν ἑλώδους· ἐνίοτε δ' ἔχοντος βάραθρον
περιεχόμενον· ἀναθυμίασιν δηλητηριώδη καὶ πο-
νηρὰν ἀναπέμποντα· ταῦτα μὲν οὖν συνεχῶς εἴωθε
συμπίπτειν· ὁ δὲ συνέχων ἡμᾶς ἀὴρ· συνεχῶς καὶ μετα-
τρέπει τὰς κράσεις· ἤτοι θερμότερος ἀμέτρως· ἢ ξηρότε-
ρος· ἢ ψυχρότερος· γινόμενος· τοῖς μὲν γὰρ ἄλλοις αἰτί-
οις· οὔτε πάντες ἅμα περιπίπτομεν· οὔτε ὁμοίως

⌑ τῶν πολλοῖς kaul. h. 2°
Δ χωρίων δὲ φύσεις
∵ ὅλως

ἡμέρας ὁμιλοῦμεν· ὁ περιέχων ἡμᾶς ἀήρ, ἐ-
ξωθέν τε περικέχυται πᾶσι καὶ ἕλκεται διὰ τῆς ἀναπνο-
ῆς· ἀναγκαῖόν τε οὖν οὕτω διατίθεσθαι ταῖς κατὰ τὰς
κράσεις ἐναλλαγαῖς αὐτοῦ τὰ τῶν ζώων σώματα· τοῦ-
το οὖν ὁ γινώσκων, οὐ προγνώσεται μόνον τὰς γενησομέ-
νας νόσους ἐν ἑκάστῃ τῶν καταστάσεων· ἀλλὰ καὶ
κωλύσει γενέσθαι ταῖς τοῦ περιέχοντος ἀμέτροις κρά-
σεσι τὴν ἐναντίαν ἐπιτεχνώμενος δίαιταν· ὅσα μὲν
ἐγγὺς τοῦ νοσεῖν ἐστὶ σώματα· νόσον τινὰ διὰ τὴν οἰκεί-
αν δυσκρασίαν· ταῦθ' ὑπὸ τῆς ὁμοίου τοῦ περιέχοντος
ἡμᾶς κράσεως ἐξελέγχεται· τὰ δ' ἐναντίως κεκραμέ-
να τῷ περιέχοντι πρὸς τῷ μηδὲν βλάπτεσθαι γίνεται βελ-
τίω· τὴν ἀμετρίαν τῆς κράσεως τῆς ἐναντίας κολαζού-
σης· καὶ ὁ γινώσκων τοῦτο ῥᾳδίως ἂν φυλάξει τοῖς σώ-
μασι τἀναντία προσάγων· ποτὲ μὲν ἀνατρίψεσι
χρώμενος εἰ οὕτως τύχοι· ποτὲ δὲ θερμάσμασιν· ὕδα-
τος μὲν ἐπαιωραῖς ἀνατρίβων· καὶ ἀργίαις· καὶ τροφῆς
ἐνδείαις· καὶ ποτὲ πλεονασμοῖς· τὴν ἕξιν ἐπιθερ-
μαίνων πόνοις· καὶ σιτίῳ πλείονι· καὶ ποτὲ καὶ ἐλάσσο-
νι· καὶ πῦρ ἀνδ' εἴτις ἀναγκαίως πολλὰ δύναιτο ἂν
μεταβαλεῖν ἐπὶ τὸ θερμὸν καὶ ξηρὸν τὸν ἀέρα τε
καὶ ὑγρὸν ὄντα καθάπερ ποιῆσαι φασὶν ἄκρωνα τὸν
ἀκραγαντῖνον·—

## Ἐκ τῶν Ῥούφου περὶ λοιμοῦ·

κε Πάντα ἂν γένοιτο ἐν λοιμῷ τὰ δεινότατα· καὶ οὐδὲν ἀ-
ποκεκριμένον· ὥσπερ καθ' ἕκαστον νόσημα· καὶ
γὰρ παραφροσύναι γένοιντ' ἂν· καὶ χολῆς ἔμετοι· καὶ ἱ-
δρῶτες πολλοί· καὶ ψύξις ἄκρων· καὶ διάρροιαι χολώ-
δεις· λεπταὶ φυσώδεις· καὶ οὖρα ὑδατώδη λεπτὰ χο-
λώδη· μέλανα· ὑποστάσεις κακὰς ἔχοντα καὶ ἐναιω-

ῥήματα οἷα δὴ μάλιστα· ἀπὸ ῥινῶν στάξεις· καύματα
ἐν θώρακι· γλῶσσαι πεφρυγμέναι δι' αὐχμοῦ· ἄσιτοι·
ἄγρυπνοι· σπασμοὶ βίαιοι· καὶ ἄλλα πονηρὰ καὶ ἡγ-
ούμενα· γένοιντο δ' ἂν ἐν λοιμῷ· καὶ τῶν δεινῶν τι
οὐδὲν ὄν· καὶ τῶν οὐδενῶν δεινόν· ἀεὶ τὸ σῶμα μέλ-
λοντα ἐξ ἀέρ λοιμοῦ, προσέχων ταῖς ὥραις πονηραῖς
οὔσαις· καὶ τοῖς ἐπιτηδεύμασι· καὶ εἰς ὑγείαν συμφέ-
ρουσι· ζώοις τε ἄλλοις προσαπολυμένοις· ὅταν ταῦ-
τ' ἐνθυμηθῇς, προσέτι κἀκεῖνο ἐνθυμοῦ· πόσα πρὸ
μὲν ἡ παροῦσα ὥρα· πόσα πρὸ ἡ τοῦ σύμπαντος ἔτους ἐν τοῦθ
γόρτας δίαιτας εὑρήσεις ποιεῖσθαι κάλλιστα· οἷον δὴ
τῆς μὲν ὥρας, ἐπεὶ ἢν ὀρθῶς γινομένης ξηρᾶς ὑπαρχού-
σης· ἀλλὰ μὲν ὑγρᾶς τε γινομένης, ἀνάγκη ταύτας
δίαιτας ἐπιξηραίνειν· ἵνα τὸ ὑπερβάλλον ὑγρὸν ἀνα-
λίσκηται· ἐπιμελητέον ἢ καὶ γαστρός· οἷς ἡ ἄνω κοιλί-
α φλέγματος, ἐμέτοις κενοῦν· οἷς δὲ ἐν τῷ ὑπερβάλλ
αἷμά ἐστι· φλέβα τέμνειν· ἀγαθὴ ἢ καὶ ἡ διὰ τῶν οὔ-
ρων καθάρσεις· καὶ ὅσαι ἄλλαι· καὶ ἢ κατὰ πᾶν τὸ
σῶμα· εἰ ἡ καυσουμένῳ σοι δοκεῖ μένων ἔτι καὶ ἡ φλὸξ
ἄχρι στήθους ἀνήκει ἀποστρόπει· ψυκτήρια τοῖς στήθε-
σι προσάγειν· καὶ τὸ πόμα ψυχρὸν προσφέρειν· μὴ ἢ
σμικρὸν προσφέρων· ἀνακαίει γὰρ πλέον· ἀλλὰ ἀθρόον
ὥστε σβέσαι τὴν φλόγα· εἰ δὲ καῦσος ἐντὸς ἔνδον· ἄκρα
δὲ ψυχθῇ· καὶ τὸ δέρμα ἐπὶ πολλὺ ψυχρόν· καὶ ὑπο-
χόνδριον συντείνοιτο· καὶ ἡ γαστὴρ τὰς συντήξεις τὰς μὲν
ἄνω πέμπει· τὰς δὲ κάτω, ἀγρυπνίαι τε ἂν εἶεν καὶ
παραφροσύνη· καὶ γλώσσης τραχύτης, τούτοις θερμα-
σμάτων δεῖ· ὥστε ἐκκυθῆναι τὸ θερμὸν παντὶ τοῦ σώ-
ματος· καὶ εἰ δὴ τινὶ ἄλλῳ τρόπῳ σοι τὸ ἀνάγκη
τὸ θερμὸν κάτωθεν πρὸς τὰ ἔξω·—

Περὶ τῶν ἐπὶ πλήθει χυμῶν ὠμῶν συγκοπτομέ-
νων. Ἄρχονται τινὲς πυρέττειν πάμπολύ τι πλῆ-
κϛ θος ὠμῶν χυμῶν ἠθροικότες ἅμα τῷ κεκακῶσθαι τὸ στό-
μα τῆς γαστρός. ἐμπεφύσηταί τε τούτοις τὸ ὑποχόν-
δριον ἐν ὄγκῳ τε μείζονι τοῦ κατὰ φύσιν τὸ στόμα τῆς
γαστρός ἐστι καὶ ἡ χροιὰ τοῖς μὲν ἐπὶ τὸ λευκότερόν τε
καὶ ὑδαλεώτερον ἐκτέτραπται. ἔστι δ' οἷς ἐπὶ τὸ μελανώ-
τερον. οὐδενὸς τῶν τοιούτων αἵματος ἀφαίρεσιν ἀνα-
μείναντος ἔσωθε γίνεσθαι βλάβην. καίτοι δέον κενῶ-
σαι. ἀλλ' οὔτε φλεβοτομίαν. οὔτε κάθαρσιν φέρουσιν.
οἳ καὶ χωρὶς τούτων ἐξαίφνης συγκόπτονται. θερα-
πεύειν οὖν αὐτοὺς χρὴ διὰ τρίψεως. ἄρχεσθαι δ' εὐ-
θέως ἐν ἀρχῇ τῆς νόσου προσήκει. τὸ μὲν πρῶτον ἀ-
πὸ τῶν σκελῶν ἄνωθεν κάτω διὰ σινδόνων μετρίως
τραχυτέρων. ἐφεξῆς δὲ καὶ ὅλας τὰς χεῖρας ἄνωθεν
κάτω. ἐπειδὰν δὲ ἱκανῶς τὰ κῶλα φαίνηται θερμά.
καὶ φόβος ᾖ κόπου, ὅσον ἀγαθόν ἐστιν. ἐλαίῳ χαλα-
στικῷ χρηστέον. οἷόν ἐστι τὸ σικυώνιον ἔλαιον. καὶ τὸ
χαμαιμήλινον. τρίψαντας δὲ ἐπὶ πλεῖστον τὰ κῶλα
μετὰ ταῦτα χρίειν τοῖς ἐλαίοις ἀπομάττειν. ἰέναι δὲ
ἐπὶ τὴν ῥάχιν ὅλην. καὶ ταύτην ἀνατρίβειν ὁμοίως.
εἶτα αὖθις ἐπὶ τὰ σκέλη μετιέναι. καὶ ἐκ τούτων αὖ-
θις ἐπὶ τὰς χεῖρας. εἶτ' ἐπὶ τὴν ῥάχιν ὅλης τῆς ἡμέ-
ρας τοῦτο πράττοντας. ἐπιτηδειότατον τούτοις ἐστὶ μελίκρα-
τον ἐναφεψηθέντα ὑσσώπῳ. καὶ χρὴ μήτε σιτίων αὐτοῖς.
μήτε ῥόφημα. μήτε ὕδωρ διδόναι. μήτ' ἐπιτρέ-
πειν ὅλως δαψιλές. ἀλλὰ ἀρκεῖσθαι τῷ μελικρά-
τῳ μόνῳ κατὰ τὰς γ' εἰς πρώτας ἡμέρας ἐκ δια-
δοχῆς τρίβοντας. εἰ δὲ πόνου μετρίως ἔχει, καὶ
μὴ καλῶς τὰ κατὰ τὴν γαστέρα γίνοιτο. τὴν πρώτην

παχεῖς ἱκανῶς εἶναι τοὺς χυμοὺς καὶ



ἐπὶ πλέον ἐστὶν τὸ μὴ ἀκριβῶς κεκρᾶσθαι· ὁ πλοῦς γὰρ ὑπάρχει· φε-
ρομένης δὲ ἐπὶ πλέον, μηδ' οὕτως μηδ' ἱστάναι· διδόναι
δεῖ ἀντὶ τοῦ μελικράτου πτισάνης χυλόν· εἰ δὲ ἐπιμένοι φε-
ρόμενα τῶν ἐκχυνομένων ῥοφημάτων τρέφειν· ἐὰν ἡ ἀρρω-
στίαν ἐκ τοῦ σφυγμοῦ καταμάθοις καταπεπτωκυῖ-
αν τὴν δύναμιν διδόναι ἄρτον προσήκει ἐξ οἴνου κεκρα-
μένου· μήτε γαστρὸς μήτε ἥπατος φλεγμαινόντων· ὡς εἴ
γε φλεγμαίνοιεν ὠμῶν χυμῶν πεπληρωμένου τοῦ σώ-
ματος, ἀνέλπιστος ὁ κάμνων ἔσται· ἐὰν δὲ ἐστί ποτε παχεῖς
εἶναι τοὺς σφυγμοὺς ὀξύμελι διδόντα πάντως ἀντὶ μελι-
κράτου· ἐπειδὴ θερμότερον· εἰ καὶ ψυχροπότης ὁ κάμνων· ψυ-
χρὸν τοῦτο διδόναι τὸ ὀξύμελι, χειμῶνος ὄντος θερμόν
ἐναντία τὰ τούτοις ἐστὶ βλάπτοντα· ἐπὶ σηπομένων ἢ
δὴ κληθέντων ἀφλεγμάντων τῶν ἄνω μορίων· διδόναι
καὶ ἄρτον μὴ πολὺ δ' οἴνου· εὐθέως ἐπὶ τὴν τρίτην ἰέναι·
καὶ χρῆσθαι κατὰ τὸν εἰρημένον τρόπον· ἐφ' ὧν ἢ διὰ ξαν-
θὴν χολὴν ἀδηκτέσαν τὸ σῶμα τῆς γαστρὸς ἡ σή-
πη γίνεται, ψυχρὸν χρὴ προσφέρειν· ἐφ' ὧν ἢ διὰ ξαν- τρόπον
θὴν χολὴν ἀδηκτέσαν τὸ σῶμα τῆς γαστρὸς ἡ σήπη
γίνεται, ψυχρὸν χρὴ προσφέρειν τὸ ποτόν· παραλαμ-
βάνοντα τὸν οἶνον λεπτὸν καὶ παλαιὸν καὶ κιρρόν·

περὶ τῶν ἐπὶ λεπτοῖς χυμοῖς σηπομένων·

Τοὺς ἐπὶ λεπτοῖς χυμοὺς σηπομένους, θεραπευτέον χζ
τοῖς ἐναντίως τοῖς προειρημένοις τρέφοντας καὶ βραχὺ συνεχῶς·
καὶ τούτους μάλιστα ὅταν ἢ στόμαχος ἢ ἧπαρ ἢ κοιλία
φλεγμαίνοι· καμνούσης τῆς δυνάμεως ἐπὶ τῶν τοιούτων
διαθέσεων, ἡ νεκρώδης ἐν τῷ προσώπῳ κατάστασις ἐν-
ταῦθα γίνεται· τότε μὲν διὰ τρέφειν ἀναγκαῖον ἢ καὶ τὸ πυ-
κνοῦν τὴν ἐπιφάνειαν· ὡς πρὸς τῶν προειρημένων ἀραιοῦν·
καὶ ψυχρὸν τὸν ἀέρα ποιητέον· καὶ ἀναληπτέον αὐτῶν

τοῖς στύφουσι· καὶ τροφὰς δοτέον οὐ πάνυ διαρρεού-
σας· δοτέον οὖν ἄρτον· καὶ τὰ διὰ χόνδρου ῥοφήματα· καὶ
ὀπώρας αὐστηρὰς καὶ δυσφθάρτους· αὐτάς τε καὶ ἐξ αὐ-
τὰς καὶ μετ' ἄρτου· δοτέον δὲ τούτοις καὶ ὠά· καὶ μάλιστα
τὰς λεκύθους αὐτῶν· δοτέον δὲ καὶ ἐγκέφαλον ὑός.
ἀναγκαῖος τούτοις ὑδατώδης οἶνος αὐτοῖς ἐξ ἀρχῆς ἐπὶ
τοῖς σιτίοις λαμβανόμενος:

περὶ τῶν ἄλλων προσφάτων ἐφ' αἷς οὐ τίκτεται γίν(εται)

κ̄η καὶ π(ερὶ) Εἰσὶ δὲ καὶ ἄλλαι προφάσεις ἐφ' αἷς οὐ τίκτεται
γίνονται τε ὥσπερ ἐξ ἅλματος σφοδροῦ· ἀγρυπνία· καὶ κέ-
νωσις ἄμετρος· τε τῇ δ' ἐβουλεῖ προστίθει τὴν δύσκρα-
σίαν τῶν ἀρχῶν· τάχιστα γοῦν ἀπώλλυται γίνονται τῆς
κυρίας πασχούσης· ἐφεξῆς δὲ τοῦ ἐγκεφάλου· βραχὺ δὲ
τοῦ ἥπατος.

περὶ ὀδύνης

κ̄θ Κ γοῦν ναρκώδης ὀδύνη· διὰ ψυχρὰν γίνεται διάθεσιν·
ὁ δὲ σφυγματώδης πόνος, ἴδιος ἐστὶ μεγάλης φλεγμονῆς·
ἐὰν δὲ ὑπὸ σκόλοπος ἐμπεπαρμένου· ἢ ὡς ὑπὸ τρυ-
πάνου τιτρᾶσθαι νομίζῃ παχέος ἐντέρου τὸ εἶδος τῆς
ὀδύνης τῆς ὀδύνης ἐστίν· ὁ δὲ νυγματώδης συνίσταται
περὶ τοὺς ὑμένας· ὁ δὲ διατείνων πόνος συμβαίνει τοῖς
σφοδροτάτοις· οὐχ ἑτεροκρανίαις μόνον· ἀλλὰ καὶ
ταῖς κεφαλαίαις· ἔστι δὲ διατείνων ὅταν ὥσπερ ἀπὸ ῥίζης
ἀρχομένης τοῦ πρωτοπαθοῦντος μορίου, φέρηται τα-
χέως ἐς τὰ παρακείμενα· διατείνοντες δὲ εἰσὶν ἐκ τούτων
τῶν ναρκῶν οἱ πόνοι, διότι τείνεται πρὸς ἀμφότερα
πέρατα· ἥκιστα δὲ εἰς πλάτος ἐκτεταμένους ἔχουσι
πόνους ζάναυρα· τὸν ὀδύνης τε καὶ ναρκώδης ἐπιφέ-
ρει τοὺς πόνους· ὁ ἐπὶ τῷ δέρματι τεταμένος ὑμήν·
οἱ δὲ μεταξὺ τῆς σαρκὸς οἱ διασπῶντες εἰσί· γὰρ πολλοὶ
καὶ ἀνώμαλοι ἐμφυόμενοι τὰ περιλαμβάνοντες αὐτήν

ὠς καυλ. κ. ι

οἷς ἤ τῶν περικειμένων τοῖς ὀστοῖς ὑμένων· εὐαίσθητοί τε εἰσὶ καὶ
αὐτῶν τε τῶν ὀστῶν ἐπάγουσι φαντασίαν ὡς ὀδόντων ἀλγημάτων.
ὅταν οὖν μηδὲν ἔξωθεν τῆς ὀδύνης αἴτιον ἐπιφαίνηται
γινόμενον, ἐπισκέψασθαι τὴν προηγησαμένην δίαιταν.
ἢ γὰρ ἔτι ἀργότερα παρὰ τὸ ἔθος, ἢ σιτίοις ἐχρήσατο πλεί-
οσιν ὁ ἄνθρωπος, ἢ πολυτρόφοις· ἢ συνήθους ἐκκρίσεως ἐ-
πεσχέθη· εἰ γάρ τι τούτων, ἢ καὶ πάντα φαίνοιτο, πλῆ-
θος αἴτιον ἐστὶ τῆς ὀδύνης. καὶ ὅτι τάχιστα κενωτέον
αὐτόν· οὕτω γὰρ ἐξέσται σοι μετὰ πάσης ἀσφαλείας τοῖς
ἀποκρουομένοις τὰ ῥεύματα τῶν ὀδόντων ἐπιχρῆ-
σθαι μετά. εἰ μὲν οὖν αἵματος πλῆθος εἴη τὸ ἀλγῦνον,
φλεβοτομητέον αὐτίκα μεγάλην, τὴν ἡλικίαν τοῦ πάσ-
ἀθρόου χοντος· κακοχυμίας δὲ μόνης ἐνοχλούσης καθαρ-
τέον. συνελθόντων δὲ ἀμφοῖν ἀμφοτέραις χρῆσθαι
ταῖς κενώσεσι· φλεβοτομήσαντας πρότερον. εἰ δὲ τού-
των γενομένων ἐπιμένοι τὸ ἄλγημα· δῆλον μὲν δήπου,
κατὰ τὸ πεπονθὸς μόριον ἐστηρίχθαι τὸ λυποῦν· ἀ-
δηλος δὲ καὶ ἡ θεραπεία τοῖς διαφορητικοῖς ἐσομένη
φαρμάκοις. ὡσαύτως δὲ καὶ τὰς διὰ φυσῶδες πνεῦμα γι-
νομένας ὀδύνας ἰασόμεθα προσλιπαροῦντες ἐ-
πάντων μᾶλλον τοῖς λεπτύνουσιν ἐδέσμασι καὶ πό-
μασι· ἐνέμασί τε καὶ πλάσμασι καὶ καταιονήσεσι
τε καὶ πυριάσεσιν. ἀραιοῦντες τὸ περιέχον αὐτὸ
σῶμα. εἰ δὲ ὅπως βαρύνων, ἢ θλῶν ὀδύνην ἐργάζοι-
ἰάσῃς το, τὸν οἶνον ζαλεόν· ἐπεὶ καὶ διὰ πυκνῶν δὲ ὑγρὸν ἐν-
τιώτατον. ἀνώδυνον καὶ ὑπνοποιὸν ὑπάρχει. καὶ
μᾶλλον τὸ χλωρὸν τοῦ ξηροῦ.

## περὶ συντήξεως

Ὅταν ἀνακρίνηταί τι διὰ γαστρὸς συντηκτῶν ἐδεσμάτων.
καὶ πεπεμμένων· ἀλλ᾽ ἐκ τοῦ σώματος εἰς αὐτὴν κα-

ταρρέοντος

τοῦ χυμοῦ παραπλησίου μὲν ὄντος τῇ συνεχῶς ἐμουμέ-
νῃ τε καὶ διαχωρουμένῃ ξανθῇ χολῇ· διαφέροντος
δ' αὐτῆς τῇ δυσωδίᾳ· καὶ τὸ πυρρὸν τοῦτο φαίνεσθαι τὸ διά-
χώρημα· καὶ παχὺ ἐστὶν ἰλυῶδες· ἐνίοτε δὲ καὶ ἐλαι-
ῶδες· τότε πάλιν καὶ σὰρξ νεοπαγὴς ὑπὸ πυρετοῦ δι-
ακαοῦς ἀναλίσκεται· καὶ τὴν ἐκτεταμένων στερεῶν ἐπὶ
τούτου τοῦ πονηροτάτου πυρετοῦ ψυχροῦ πόσις ἐστὶν ἀ-
πὸ πηγῆς ψυχροτάτης· τοιαῦτα δ' εἶναι χρὴ τὰ καταπλά-
σματα· καὶ ἐπιθέματα ψύχοντα κατὰ θώρακος ἐπι-
τιθέμενα καὶ τῶν ὑποχονδρίων καὶ αἱ ψυχραὶ ἐπιβρο-
χαὶ διδόμεναι:

ἐκ τῶν γαληνοῦ· περὶ ἀγρυπνούντων ἐν πυρετοῖς

λα ὑποβαλλόντων ἢ ἀγρυπνούντων σκέλη καὶ χεῖρας
δεσμεῖν ἐν ἐκείνῳ τῷ χρόνῳ καθ' ὃν ἐπὶ τὸν ὕπνον
εἰώθεσαν τρέπεσθαι κελεύομεν· καὶ ἐγρηγορέναι δι-
οίσειν τε πολεμοῦντας ἀναγκάζομεν τὰ βλέφαρα μέ-
χρις ἂν ἱκανῶς δόξαι φύσει λύομεν τοὺς δεσμούς.
καὶ τὸν λύχνον αἴρομεν· ἡσυχίαν δὲ πολλὴν γίνεσθαι κελε-
ύομεν·

προσδότου· περὶ ἀγρυπνούντων

κβ ἰσχυρῶς ἐπικειμένης ἀγρυπνίας ἐν ἀνέσει τοῦ παροξυσμοῦ
προσκλυστέον τὸ πρόσωπον ἀφεψήματι κωδιῶν με-
λανῶν· καὶ ὀσφραντέον μήκωνος βλακὸς· κελύφος
φρίξας καὶ ῥίψας· καὶ μανδραγόρου ῥίζης λεάνας,
ἴσον μετ' οἴνου ἢ ῥοδίνου μάλαγμα ποιήσας· καταπλα-
στέον δὲ τὸ μέτωπον ἑρπύλλῳ μετὰ μηλίνου ἐντι-
κεῖ ἐχομένης· τούτῳ δὲ καὶ ἐν παροξυσμοῖς χρηστέον.
ἢ λείας τὰς κωδίας ἀναλαμβάνοντες· ἄρτῳ μετὰ ῥοδί-
νου ἢ κηρωτῆς καταπλάσσωμεν· καὶ ἡ τροφὴ δὲ ποιεῖ-
σθω ἑσπέρας αὐτοῖς πῶς ἔσω· συμβαλλέσθω δὲ τοῖς ῥοφήμα-
σι κωδίας λάκκης σπέρματος, ὅσον κοχλιάρια τρία·

καμινωδῶν ex paul. li. 2°

Τοῖς δὲ λαχάνοις συνεψέσθω μήκωνος μελαίνης ἢ
μέλαινα φύλλα χλωρὰ ὅσον τοῖς τρισὶ δακτύλοις λαβεῖν· εἶ
τα μετὰ δὲ ἢ τέσσαρες κωδύαι ξηραὶ σὺν ἀφεψήματι δύναται ἐξα-
ρκέσθωσαν· ἢ μὲν οὕτως κατενεχθέν, ~~ποτιζέσθωσαν~~ ὀ- ἢ περιχριέσθωσαν
πῷ μήκωνος ἢ μανδραγόρου χυλῷ.

Προσώπου περὶ ἀναφορᾶς

λγ ἀπόσφαλζεν ἢ Ἀποσπογγίζειν δὲ τὸ πρόσωπον ὀξυκράτῳ ταλαιπώρως
καὶ διαψαύειν ἀκόνως τὰ ἄκρα ~~τὰ δὲ~~ προσφέρεσθαι τὰ ἐμπλαστι-
κὴν ἔχοντα δύναμιν· καὶ ἐν ταῖς ἀνέσεσι κινεῖσθαι αὐτοὺς
ἐν ὀργάνοις κατὰ μεταφρένου καὶ ῥάχεως· ἐπιμενούσης δὲ
καὶ τῆς νόσου ἔτι, πταρμικὰ ἐν ἀνέσει τῶν πυρετῶν προσα-
γέσθω· ἔσω δὲ καὶ ἡ τῶν σιτίων ὕλη ἐμπλαστικὴ καὶ διαιρετι-
κή.

Περὶ κυνώδους ὀρέξεως

Τοῖς τὴν καλουμένην ὄρεξιν κυνώδη νοσοῦσιν, οἶνον χρὴ λδ
διδόναι τῶν ἱκανῶς θερμαινόντων ὡς μετὰ ἴαμα· τοιοῦ-
τοι δέ εἰσιν οἱ κιρροὶ τὴν χρόαν· οἱ ἐρυθροὶ χωρὶς τοῦ στύφειν.
χρὴ δὲ αὐτοῖς ὅταν ἐπὶ τὸ ἄριστον ἀφίκωνται, πρῶτον μὲν δι-
δόναι τὰ λιπαρά· καὶ τὰ ἄλλα δὲ πάντα δι' ἐλαίου πα-
λαιοῦ σκευαζόμενα μηδὲν αὐτόθι αὐστηρὸν ἢ στύφον
ἔχοντα· μετὰ δὲ ταῦτα τὸν εἰρημένον οἶνον, κἂν μὴ δέω-
πω διψῶσι κελεύω προσφέρεσθαι· πλείονα γὰρ χρόνον πρατ-
τόντων οὕτως παύεται.

Περὶ ἀνορεξίας

Εἰ μὲν διὰ μοχθηροὺς χυμοὺς ἡ ἀνορεξία γένοιτο, δοτέον αὐ- λε
τοῖς ἔνδον τῶν ἐδεσμάτων τε καὶ πομάτων· ἃ τοὺς τοιούτους
χυμοὺς ἢ τοῖς ἀπορρίψαντα δι' ἐμέτων· ἢ καὶ διὰ τῆς κά-
τω κοιλίας ἐκκρίνειν πέφυκεν· ἢ ἀποκεραννύντα βελτίους
ἐργάζεται. τοὺς δὲ δι' ἀρρωστίαν δυνάμεως ἀνορεκτοῦντας
ἐπειδὴ πάθος δυνάμεως ἀρρωστεῖ διὰ δυσκρασίαν τῶν μο-
ρίων, χρὴ τὸ τῆς δυσκρασίας εἶδος διὰ τῶν ἐναντίων
ἰᾶσθαι.

Βουλίμου θεραπεία

λς Τοὺς βουλιμιῶντας ἐν ταῖς ὁδοῖς ἢ ἄλλως ὅπως ἀνακ-
τησόμεθα τοῖς τε ἄλλοις ὀσφραντοῖς καὶ ὑγροῖς κρέ-
ασιν ὀπτοῖς καὶ ἐριφίοις καὶ καθόλου πᾶσι τοῖς ὀσμὴν
κνισώδη ἔχουσι· τά τε ἄκρα αὐτῶν διακρατοῦντες
καὶ ἐγείροντες αὐτούς· τάς τε σιαγόνας νύσσοντας καὶ τρί-
χας ἢ ὦτα ἀνατείνοντας· ἀνακληθεῖσι δὲ ἄρτον ἐν κράμα-
τι· ἢ ἄλλο τι τῶν ἀναδόσιμων δίδου·

## Περὶ δίψους ἀμέτρου

λζ Τινὰς πάνυ μακρὰν δίψαν γίνεσθαι νομιστέον, διὰ ξη-
ρότητα τῶν μορίων· ἢ θερμότητα δι' ὧν φέρεται τὸ ὑγρὸν
ἐκ τοῦ στόματος ἐς τὴν κοιλίαν· καὶ ἴαμα τῆς μὲν ξηρότητος
ἐστὶν ὕπνος· τῆς δὲ θερμότητος ἡ ἐγρήγορσις· ἔνιοι μέντοι
διψώδεις ἐξ οἴνου γίνονται, διὰ τὴν τῶν ἀδηδεσμάτων
θερμότητα· καὶ ἴαμα τούτων ἐστὶ τὸ ψυχρὸν πόμα· μοχθη-
ρῶν δὲ ἐπιθυμιῶν πομάτων ὡς περ καὶ σιτίων ἀνάλογον
τὴν κρατοῦσαν κακοχυμίαν· δίψεσι δὲ ἀπαύστοις καταληφθέν-
τες· ἐξ ὧν περ καὶ ἀπέθανον· οἶδα δέ ποτε φαγόντας
ἐχίδνας διψάδας· καὶ οἴνου παλαιοῦ μεθυσθέντας,
καὶ τοὺς ἐν τῷ πλοίῳ τοῦ ὕδατος ἐπιλείποντος· ὧν ὅ-
σοι τῆς θαλάσσης ἐτόλμησαν πιεῖν ἀπέθανον·

## Φιλουμένου· περὶ δίψης

λη Παρηγορεῖν πέφυκε τὸ ἐν πυρετοῖς δίψος ἐμβροχὴ
τῆς κεφαλῆς ψυχροτάτη ἐλαίου· ἢ ῥοδίνου· μετὰ κρουνι-
σμοῦ γινομένη· κάλλιστα δὲ ποιεῖ πρὸς δίψος τὸ τῆς με-
λαίνης θριδακος σπέρμα διαμασηθέν· καὶ ἡ γλυκύ-
ριζα λεγομένη· καὶ τὸ τοῦ σικύου σπέρμα διαμαση-
θέν· καὶ κρατηθὲν ἐν τῷ στόματι·

## Διοσκορίδου· ἄδιψον καταπότιον·

λθ Σικύου ἡμέρου σπέρματος ʒ η΄· τραγακάνθης ʒ δ΄· διά-
λυε τὴν τραγάκανθαν ὠῶν ὠμῶν προσφάτων τὸ λευκ(όν)·

καὶ ὅταν διαλυθῇ, ἐπίβαλλε ῥητίνας τοῖς λοιποῖς
καὶ μίξας, ἀνάπλαττε καταπότια· καὶ ξήραινε
ἐν σκιᾷ· καὶ δίδου ἓν ὑπὸ τὴν γλῶτταν κατέχειν· καὶ τὸ
διαλυόμενον ὑγρὸν καταπίνειν· δίδου δὲ καὶ ἀπὸ βρεγ-
ματος καταρροφεῖν· ἢ μήλων κυδωνίων· ἢ ἀπίων·
ἢ μεσπίλων· ἢ ἑλίκων ἀμπέλου· ἢ ῥοᾶς χυλοῦ· ἢ ὀμφα-
κος χυλοῦ· περὶ ναυτίας

Ὅταν χωρὶς προσενεχθῆναί τι ναυτιῶσι δοκιμαζομένων, πρόδη- ἢ μόνοι μ
λον οἶμαι λογίζεσθαι μοχθηροὺς χυμοὺς ἀνιᾶν τὴν γαστέρα·
τινὲς ἢ συνταράττονται μέν· ἐμοῦσι δὲ οὐδὲν ἐν αὐτοῖς τοῖς χι-
τῶσιν ἀναπεπωμένου τοῦ χυμοῦ· φλεγματώδεις μὲν οὖν-
τας τοὺς χυμοὺς πέττειν δεῖ ἡσυχίᾳ φυλάττοντας τὸν
ἄνθρωπον· καὶ ἀσιτίᾳ· καὶ ὕπνοις· τοὺς δὲ λεπτοτέρους ἐμέτοις
ἐκβάλλειν· ποτὲ μὲν ἐπὶ τῷ πτισάνης χυλῷ γενόμε-
νος· ἢ μελικράτῳ· ὅσοι δὲ γλίσχροι τέ εἰσι καὶ παχεῖς·
τῶν λεπτυνόντων χρήζουσιν·

ἐκ τῶν Φιλουμένου· πρὸς χολημεσίαν θεραπευτικόν·

Τοῖς χολημετοῦσι, κατάπλασμα προσενεκτέον διὰ μα
φοινίκων· ἢ σιδίων· ἢ κηκῖδος ἑψομένων ἐν οἴνῳ· ἢ ὀ-
ξυκράτῳ συλλελειωμένων ἄρτῳ· καὶ ἀκακία δὲ καὶ ὑποκυ-
στὶς· καὶ βαλαύστιον· καὶ ῥοῦς συμπλεκέσθω τῷ κατα-
πλάσματι· καὶ σικύα δὲ προσβαλλομένη μεγάλως
ὠφελεῖ μετὰ φλογὸς πολλῆς· τὴν δὲ ῥοφὴν πολλάκις
κατὰ βραχὺ δώσομεν· ἐπὶ δὲ τῶν χολὴν μέλαιναν ἐ-
μούντων· καὶ φυσωμένων τὸν στόμαχον· σπόγγους ὄξει δρι-
μυτάτῳ θερμῷ βεβρεγμένους ἐντίθει· ἢ κισσοῦ φύλ-
λοις ἑφθοῖς ἐν οἴνῳ κατάπλασσε:~

ἐκ τῶν Γαληνοῦ· περὶ λυγμοῦ·

Ὁ λυγμὸς γίνεται διὰ πλήρωσιν· ἢ κένωσιν· ἢ δριμέ- μβ
ων χυμῶν δακνόντων τὸν στόμαχον· τῶν ἐμεθέντων

παύεται. πολλοὶ ~~ἢ ἀφιμεζόμεναι~~ ἢ καὶ τὸ διὰ τριῶν
πεπέρεων λαβόντες. ἐὰν αὐθέως ἐπιπίωσιν οἶνον λή-
ξουσιν. ὅτι ἢ καὶ διαφθείραντες τροφὴν τινὲς λήξουσιν,
ἔμετον οἷον εὑρήσομεν αὐτάρκους ἴαμα τῶν διὰ πλῆθος
ἢ δῆξιν λυζόντων. θαυμασίαν ἢ τῶν διὰ τὴν ψῦξιν. ὅταν
ἢ ὑπὸ πληρώσεως ὑγρῶν γένηται λυγμός, βιαίας δεῖται κε-
νώσεως. τοῦτο δ' ὁ πταρμὸς ἐργάζεται. τοὺς δ' ἐπὶ κε-
νώσει λυγμούς, οὐκ ἰᾶται πταρμός. δίδοναι δὲ τοῖς λύ-
ζουσι πήγανον μετ' οἴνου. ἢ καλαμίνθην. ἢ νάρδον
κελτικήν:— Πῶς ἐπιμελητέον γλώττης τραχ-
μγ ύτητα:— Ὑγραίνειν δεῖ τὴν τραχύτητα τῆς γλώττης.
ποιοῦντας διὰ κηρωτῆς λινοσπέρμου ἀφεψήματος
κατεχομένους ἐν τῷ στόματι. βέλτιον δὲ ἐν ἐρίῳ μύσκλον
τῷ λινοσπέρμῳ ἐγκαθεψημένον. καὶ τῷ δακτύλῳ
δὲ ἐκ τούτων τοῦ χυλοῦ προβρέξαντας. καὶ τὴν γλῶσσαν
ἀναψήσαντες, ἀποκλυζέσθωσαν ὕδατι καθαρῷ. ἢ ἀσσ-
γωπκιμασάσθωσαν. καὶ αὐτὸ ἢ τὸ ῥόδινον οὐ μικτέον.
σπουδαίως ἐνεργεῖ καὶ ὁ τῆς ἀνδράχνης χυλὸς κρα-
θείς. καὶ ῥοῦς ὁ ἐπὶ τὰ ὄψα μελικράτῳ μιχθεὶς. κα-
λῶς ποιεῖ καὶ δαμασκηνοῦ. καὶ μισκλίου τὰ ὀ-
στέα διακρατούμενα. καὶ ψιλακίνης κῶλον:—
Θεραπεία περὶ τῆς τὸ ἱερὸν ὀστοῦν ἑλκώσεως:—
λα Ἐνίοις μὲν ἄρχεσθαι ἀνεραθηκὸς τὸ ποσ γίνεσθαι κύ-
κλον ἐξ ἐρίου ποιήσαντες ἀμεγέθη, ὑποθήσομεν τῷ
τόπῳ. μετὰ ταῦτα ῥοδίνῳ ἢ μυρσίνῳ κηρωτὴν ποι-
ήσαντες, ἴσχου σὺν λιθάργυρον ἢ ψιμμύθιον ἐπιθή-
σομεν φλεγμονῆς ἢ γινομένης, ἄρτῳ καταπλαστέον
μετὰ στρύχνου. ἢ πολυγόνου ἢ ἀρνογλώσσου. ἢ ἀπαλῆς
κράμβης. εἰ ἢ νομώδης ἡ ἕλκωσις ἦν. φακῇ κα-
ταπλαστέσθω μετὰ σιδίων:—

περὶ λειποθυμίας τῆς ἐπὶ κενώσεσιν.

Τοῖς διὰ κένωσιν λειποθυμοῦσιν, ὕδωρ προσραίνειν μα'
καὶ τοὺς μυκτῆρας ἐπιλαμβάνειν· καὶ ἀνατρίβειν
τὸ στόμα τῆς γαστρός· καὶ κελεύειν ἐμεῖν· ἀλλὰ καὶ
χεῖρας καὶ σκέλη διαδεῖν· ἔναγχος ἢ δεῖ τοὺς δεσ-
μοὺς πλεονάζειν καὶ σφοδροτέρους· ἄνωθεν ἐπὶ τοῖς κά-
τω· καὶ κάτωθεν ἐπὶ τῆς ἄνω· ἰᾶται ἢ καὶ οἶνος ψυχρῷ κε-
κραμμένος τὰς ἐπὶ ταῖς ἀθρόαις κινήσεσιν ἐκλύσεις
εἰ μή τι δὲν κωλύει· λουτρὰ δὲ τοῖς ἐπὶ τῷ γαστέρα
ῥεύμασιν ἐπὶ τῆς δυσεντερίας καὶ διὰ ἀμοργίας ἀδυνάτως παρο-
βιοῦσι· καὶ ὅσοι διὰ πλήθους ἱδρώτων· καὶ τούτοις ἐ-
ναντίως τάτου· καὶ γὰρ ψύχειν καὶ στύφειν αὐτῶν τὸ δέρμα
οὐ χαλᾶν· καὶ τὸν οἶνον μάλιστα τούτοις ψυχρὸν διδό-
ναι· — περὶ τῶν ἐπὶ πλήθει λειποθυμούντων.

Ἀνατρίβειν δὲ τὰ κῶλα καὶ θερμαίνειν καὶ διαδεῖν· οἴ- μϛ'
νου ἢ καὶ τροφῆς ἀπέχειν καὶ λουτρῶν ἐπὶ πυρετοῖς· ἀρ-
κεῖ ἢ αὐτοῖς μελίκρατον διδόναι πόμα θύμου ἢ ὀ-
ριγάνου· ἢ γλήχωνα· ἢ ὕσσωπον ἀφεψημένου· ἐ-
πιτήδειον ἢ, καὶ ὀξύμελι — θεραπεία ἐφ' ὧν στα-
ξις παρηκολούθησεν. Ἐπειδὴ ἡ τῆς στάξις δη- μζ'
λοῖ πλῆθος ὅλῳ τῷ σώματι ἐν τῇ κεφαλῇ κατὰ ἔκ-
θλιψιν γινομένην διὰ πύκνωσιν· ἡ δὲ πλείων ἔκκρι-
σις, ἱκανή ἐστι καὶ μεταστῆσαι καὶ χαλάσαι τὸ πλῆθος.
// (κατ' ὀλίγον) δὲ ἐστὶ ποιεῖσθαι αὐτὴν ἐκεῖθεν ὅθεν
ἡ φύσις ὥρμησεν, οὐκ ἄδοξον ἐστὶν ἡ δι' ἑδρῶν· ταῦτα
ἐννοήσας ἐτόλμησα· ἐπὶ τῶν γεγονότων ἀποστά-
ξεων διὰ (σοιμῆς) ὡς ἔθος ῥῶσαι τὰ ἐν τοῖς μυξωτῆρσιν
ἀγγεῖα· δεῖ ἢ (καὶ) ἀρκεῖσθαι ὀλίγῃ ῥύσει· ἀλλὰ προσ-
δοκᾶν ἀφαιρεῖν· — Τέλος τοῦ αὐτοῦ λόγου.

// κατὰ λόγον ex Pau. l. 2. c. 48.
□ τίφης ex Pau.
Δ μὴ Pau.

ἀρχὴ τοῦ ζ΄ λόγου

α Περὶ τῶν ἁπλῶν ἑλκῶν. β περὶ τῶν κοίλων
ἑλκῶν. γ περὶ τῶν οὐλῆς δεομένων ἑλκῶν:—
δ περὶ τῶν ὑπερσαρκώσεως ἑλκῶν. ε πρὸς τὰ πυ-
ρίκαυστα. ϛ πρὸς τὰ ἐξανθήματα. ζ περὶ
κνησμῶν. η περὶ φλυκταινῶν. θ περὶ
ἀναρρηγνυμένων ἑλκῶν. ι περὶ κακοήθων
ἑλκῶν:— ια πρὸς ἄνθρακας. ιβ πρὸς καρκί-
νους. ιγ πρὸς σαρκοθλάσματα, καὶ ἐκχυμώμα-
τα. ιδ περὶ ῥήγματος καὶ σπάσματος:—
ιε πρὸς στρέμματα καὶ θλάσματα. ιϛ ὅσα σκόλοπας.
ἀκίδας. ἀκάνθας ἀνάγει:— ιζ περὶ παρωνυχιῶν.
περὶ τῶν ἐν ἄρθροις ἑλκῶν. ιη πρὸς αἱμορραγίας.
πρὸς οὐλὰς μελαίνας. κ περὶ νευροτρώτων:—
κα πρὸς κεχαλασμένα ἄρθρα. κβ περὶ φλεγμονῆς.
περὶ ῥευματικῆς διαθέσεως. κγ περὶ τῶν ἐν ῥευ-
ματικαῖς διαθέσεσιν ἐκπυησάντων. κδ περὶ γα-
γγραίνης καὶ σφακελισμοῦ. γάγγραινα ἐστὶν
ἀπονέκρωσις διὰ μέγεθος φλεγμονῆς. σφάκελος
ὅταν τὰ οὕτω παθόντα τελέως ἀναίσθητα γένηται:—
κε περὶ ἀποστημάτων. κϛ περὶ χοιράδων καὶ φυμά-
των. κζ περὶ συρίγγων. κη περὶ βουβώνων.
κθ περὶ ἐρυσιπέλατος. λ περὶ ἕρπητος:—
λα περὶ σκίρρων. λβ περὶ οἰδημάτων. λγ περὶ
τερμίνθου. λδ περὶ ἐπινυκτίδων. λε περὶ
[illegible] μηθέντων. λϛ περὶ θύμου:—
λζ περὶ σύκων. λη περὶ δοθιῆνας. λθ πρὸς
ἐπινυκτίδας. μ πρὸς ἀκροχορδόνας. μυρμηκί-

θύμους· καὶ τὰ ὅμοια. μα΄ πρὸς ταγλία·
μβ΄ π ρὸς χίμεθλα· μγ΄ πρὸς ῥαγάδας δακτύλων,
καὶ ὅλων ποδῶν· μδ΄ πρὸς αἰδοῖα ἡλκωμένα—
με΄ π θεῖ λεύκης ἀλφοῦ λέπρας· καὶ ψώρας:— μϛ΄ περὶ
λειχήνων· μζ΄ περὶ ἐμφυσημάτων· μη΄ περὶ
ἐλεφαντιώντων ἐχιδνοφαγῶν·

## περὶ τῶν ἁπλῶς ἑλκῶν

Ἐπειδὴ τοῦ ἁπλοῦ ἕλκους, διαίρεσις ἐστὶ μόνον ἡ τῆς α΄
συνεχείας τὰ διαιρεθέντα δεσμὸν ἢ κόλλαν ^ συμφύ- ^ περιθεὶς
εται τὰ δὲ ἔσω τὰ μόρια χωρὶς τινὸς πράγματος.
οὐδὲ ὅταν μὴ καθ' ἕν τι τῶν χειλῶν ἐκτεταμμένον
ᾖ τὸ ἕλκος εἰς τὸ πλάτιον, ἔνδοθεν τὴν ἀρχὴν ποιεῖ-
σθαι τῆς ἐπιδέσεως καὶ περιζέπειν εἰς τὰ ἐναντία ἀνα-
τὰ ἀμφότερα ἀναλαμβάνειν ἐπίδεσιν· καὶ προσαυτῆ γ΄ τῶς
τὰ χείλη· μηδενὸς γὰρ τῶν χειλῶν μεταξὺ παρεμ-
πέσοντος· οἷον τριχῶν ἢ ψάμμου ἢ ἐλαίου· ἢ ῥύπου·
ἢ τινὸς τοιούτου, πάντως συμφύσεται τὸ ἕλκος· μεγά-
λου δὲ ὄντος τοῦ ἕλκους ὡς μὴ δύνασθαι τὰ κεχωρισ-
μένα δι' ὅλου συναχθῆναι· ἢ ἰχῶρας τινὰς ἀθροι-
σθέντας· ἢ ὀδύνης οὔσης κωλυθῆναι τὸ τοιοῦτον
ἕλκος διὰ μόνης τῆς συναγωγῆς οὐχ οἷόν τε· καὶ χρεία
ξηραίνοντος φαρμάκου· τόν τε ἠθροισμένον ἐκδαπα-
νῶντα ἰχῶρα καὶ κωλύοντος ἐπιρρεῖν ἕτερον· ὑγρῶν
μὲν οὖν κάλλιστόν ἐστιν οἶνος· [illegible] καὶ ὀξύκρατον
καὶ μελίκρατον· τῶν δ' ἄλλων πολλὰ θαυμαστὰ
δρυὸς φύλλα καταπλασσόμενα· καὶ ἰτέας καὶ
κράμβης· μηλέας τε ὁ καρπὸς καὶ τὰ φύλλα
καὶ ὁ χυλὸς τῆς αὐστηροτέρας καὶ ὀξυτέρας· ἀρ-
νόγλωσσον

πάπυρον· ὀξυκράτῳ ἢ οἴνῳ βραχεῖσα ἐν κύκλῳ
περιειλουμένη. τὰ δὲ πρόσφατα καλά· πίτυος
καὶ πεύκης τὰ φύλλα· καὶ ὁ φλοιὸς πρόσφατος ὡς
ἐπίδεσμα περιειλούμενος· σπόγγος καινὸς μεθ' ὕ-
δατος ἢ ὀξυκράτου ἢ οἴνου· τυρὸς πρόσφατος πρὸς
λείωσιν ἔξωθεν ἐπιτιθέμενα δὲ φύλλα λαπάθου
ἢ ἀμπελίου ἢ ξύλου· ἢ [illegible]κίνης· ὁ δ' ὀξυγαλάκ-
τινος τυρός· καὶ τὰ μείζονα θαύματα· ἀχράδας ἤ καὶ
ἀνασχέλλουσι τὸ ῥεῦμα· ἡ πτυρὶς καλῶς πλαττομένη
καὶ νεῦρα τετμημένα τύχῃ· ἡ σταφὶς ἢ μᾶζος ἐπὶ τῶν σκλη-
ρῶν σωμάτων· καὶ ἐν ταῖς τῶν μηρῶν ἢ κεφαλῆς κυπα-
ρίσσου τὰ φύλλα καὶ οἱ βλαστοί· καὶ τὰ νέα τῶν σφαιρί-
ων· καὶ μαλακά· καὶ ἐπὶ τῶν σκληρῶν σωμάτων· μί-
γνυται δὲ αὐτῇ χρὴ λελειωμένη ἄχνην ἀλάζου λαμβά-
νοντα ἀπὸ τοῦ τοίχου πλησιάζοντος μύλῃ· σμύρνα
σὺν ὕδατι καταχρισθεῖσα ἢ λιβανωτός· γῆς ἔντερα
καὶ νεύρων διακοπὰς κολλᾷ· πενταφύλλου φύλλα
μετὰ μέλιτος· σπόροδα καὶ ἔντερα καὶ πλασσόμενα· πρὸς
δὲ τὰ πρεσβυτικὰ ἕλκη ἀναταλὶς ποιεῖ μετὰ κη-
ρωτῆς, κεῖσθαι καυθεῖσαι· καὶ τὸ ψιμμύθιον σὺν κηρω-
τῇ μυρσίνῳ διπλασίονι πρὸς τὰ ἐν τῇ κεφαλῇ· σμύ-
ρναν ξηρὰν ἐπίπασσε· καὶ μὴ βρέχε· ταχέως γὰρ
σουλοῖ· ἢ ἀλόην ξηρανθεῖσαν ἢ ἀριστολοχίαν ῥίζας
μεθ' ὕδατος· τοῦτο καὶ ὅσα ἀνάγει ἢ λιβανωτὸν καὶ
σμύρναν ἴσα ῥίζας· καὶ μετὰ μέλιτος καὶ οἴνου συν-
εψήσας ἕως πάχος ἀλύμμ... χρίων ἐπιτί-
θει· πρὸς δὲ τὰ θαύματα τὰ περιοδεύοντα καὶ
φλεγμαίνοντα, ῥοὰν γλυκεῖαν ἑψήσας οἴνῳ καὶ
ῥίζας κατάπλασσε· θαυμαστὸν τοῦτο καὶ πολύχρη-

— σον

πρός τε γὰρ τὰ ἐν τῇ κεφαλῇ ἕλκη ποιεῖ καὶ πρὸς τὰ ἐν αἰδοίοις
καὶ πρὸς τὰ ἐν ὅλῳ τῷ σώματι περιωδυνοῦντα· καὶ πρὸς
ὀφθαλμοὺς φλεγμαίνοντας :· περὶ τῶν κοίλων ἑλκῶν. β
Τὸ κοῖλον ἕλκος ξηρόν ἐστι καὶ ῥυπαρόν· δεῖται αὐτῶν ὅσων
μετρίως ξηραινόντων καὶ ῥυπτόντων· τοιαῦτα δ' ἐστὶ
λιβανωτός τε καὶ κρίθινον (ἄλευρον) καὶ κυάμινον·
καὶ ὀρόβινον· καὶ ἶρις· καὶ ἀριστολοχία· καὶ καδμεία· καὶ
πάναξ· καὶ πομφόλυξ· ὅταν μὲν οὖν ὠφελῆται τὸ προ-
σφερόμενον τὸ ἀφρικῶδες (?) φάρμακον, οὕτως πως ἐπαλλο-
μεταβαίνειν· εἰ μὲν πλέον ῥυπαρὸν ᾖ, καὶ ὑγρότερον
τὸ ἕλκος, ἐπιλῦσαι πεσσούς· εἰ δὲ ἐνδεέστερον ξηραίνει
τὸ φάρμακον· καὶ ἐπὶ τὴν δύναμιν μέλιτος μίξει· εἰ δὴ
καθαρώτερον καὶ ἀνικήτου ἀρεταῖς (?) πλέον ἢ ἐχρῆν ἐξηρασμένον
ἐῶσι τε αὐτὸ καὶ μηδὲ [illegible] μῖξαι· συμβαίνει δὲ
νιότε τοῦ φαρμάκου ὡς τυγχάνοντος ἰσχυροτέρου· τὸ [illegible]
[illegible] ῥυπαρὸν καὶ ὑγρὸν φαίνεσθαι τὸ ἕλκος
παραπλησίως τοῖς ἐνδεεστέρως ξηραινομένοις· ἀλλὰ τὸ [illegible]
λότερόν τε καὶ [illegible] μόνον γίνεται καὶ ὁ [illegible]
τοῖς χείλεσιν· ἐρυθρότερόν τε ἢ φλεγμονῶδες ἔχον· πολ-
λάκις δὲ καὶ δάκνεσθαι σαφῶς ὁ πάσχων· τὸ δ' ἕτερον ὑ-
πὸ τῶν ἐλαττόνων ξηραινόντων, οὐδὲν ἔχει τούτων παρα-
κολουθοῦν· ἐπὶ πρότης τοίνυν ξύλων· καὶ μάλιστα
ὁ [illegible] μετέχει [illegible] καὶ ἰοῦ ξέσεως καὶ ῥύπτει· ὥσπερ
καὶ ἡ πτελέα καθαίρει· καὶ ἀναπληροῖ τὰ καθαρὰ
τῶν ἑλκῶν· ἀνεμῶναι προστιθέμεναι· πίτυος φλοιὸν
ἀποξυσθὲν καὶ ἐπὶ μὲν κηρωτῆς τοὺς μαστοὺς ἐγχεῖ
ἐπὶ τῶν κοίλων ἑλκῶν· καὶ μάλιστα τῶν προσφάτων
ἐπιτίθεται· πληροῖ γὰρ αὐτὰς καὶ καθαίρει τὰς κοιλότη-
τας, τὰς ῥερυπωμένας πραεῖς (?) μετὰ μέλιτος· ἀριστολο-
χία σὺν μέλιτι ἐλαίαις κολυμβάσιν καταπλασσομένη (?):—

## Περὶ τῶν οὐλῆς δεομένων ἑλκῶν

ϛʹ Ξηραίνοντες καὶ στύφοντες τὴν σάρκα τῶν οὐλῆς δεομένων ἑλκῶν εἰς τοσοῦτον ὥστε μὴ μόνον διαφορεῖν τὸ παρὰ φύσιν περιττόν· ἀλλὰ τοῦ κατὰ φύσιν ἅπτεσθαι τὸ ἐπὶ πολλῆς τοῦ ξηροῦς, παραπλήσιον δέρματι κατασκευάσωσι· καὶ εἰς οὐλὴν ἄξουσι τὸ ἕλκος· ἀπὸ τῆς δ' εἰς τοῦτο κηκὶς ὀμφακῖτις· καὶ τὰ τῆς ῥοιᾶς λέμματα μετρίως ξηραίνοντα· καὶ ὁ κεκαυμένος χαλκὸς χωρὶς τοῦ στύφειν ἀδήκτως ξηραίνει· καὶ ταῦτα εἰς οὐλὴν ἄγει· οἷον σμύρνη λιθάργυρος· καὶ ἡ καυθεῖσα ὄστρακον ἐπιπασσόμενον ξηρόν, καὶ τοῦτο πολλάκις ἐπούλωσε· ἐπὶ τύος φλοιὸς σὺν κηρωτῇ μυρσίνῃ· κισσοῦ ἄνθος μετὰ κηρωτῆς· καὶ ἴρις ῥίζα σὺν ῥοδίνῳ· τὰ παλαιὰ ἐπουλοῖ· ἰξὸς σὺν λιβάνῳ· ἰὸς μετὰ διφρυγοῦς ἴσον· καὶ μετὰ κηρωτῆς σμύρνη:—

## Περὶ τῶν σηπομένων ἑλκῶν

ζʹ Τῶν παραυξηθεισῶν σαρκῶν, ἐπὶ τῶν ἑλκῶν καθαίρεσις ὑπὸ τῶν ἰσχυρῶς ξηραινόντων γίνεται φαρμάκων· οἷόν ἐστιν ἀσίας πέτρας ἄνθος· καὶ τὰ ὄστρεα πάντα καυθέντα μετρίως· καὶ οἱ ἐχῖνοι ὁμοίως· ἀμφότεροι καυθέντες σὺν τῷ σώματι παντί· καὶ διφρυγὲς καταπλασσόμενον· καὶ χαλκοῦ ἄνθος καὶ λεπὶς καταπλασσε πρὸς ἕλκη ἐπιπολαίως καὶ παραβάμματα· καὶ ἀποσύρματα καὶ πρεσβυτικοὺς καὶ ἁπαλοχρῶτας· λιθαργύρου· χρυσίτιδος λ ν· κηροῦ λ η· ῥητίνης ξηρᾶς πανικὸς λ ιβ· ἐλαίου κοτύλη μία· τὴν λιθάργυρον καὶ τὸ ἔλαιον ἑψήσας· μετὰ δὲ ταῦτα τὸν κηρόν· καὶ τὴν ῥητίνην ἐπεμβαλών· ὅταν ἐμπλάστρου πάχος λάβῃ καθελὼν ἀπὸ τοῦ πυρός· καὶ βαλὼν εἰς θυίαν μαλάξας χρῶ· τὸ δὲ ἀποσύρει ῥεῦμα· οὐ χρὴ τῶν ἑλκῶν

ἀποτέμνειν· ἀλλ' ἐπαίρειν αὐτό· καὶ ἔξωθεν ἐπιτιθέ-
ναι τι τῶν ἐπιτηδείων φαρμάκων· πολλάκις γὰρ οὕτω
πολλάκις τὸ ἀποσυρὲν δέρμα, κἂν μὴ ἀνατεθῆναι φ-
θάσῃ· γυμνωθέντος ἢ τῆς σαρκὸς τοῦ δέρματος δύσ-
κολος ἡ ἐπούλωσις γίνεται, σηπομένου καὶ ῥυπο-
μένου τοῦ ἕλκους· ἀφεψήματα ἢ τῆς ἐρείκης ἀποσύρ-
ματα· ῥοῦς ἐρυθρὸς καταπλασσόμενος λεῖος σὺν μέλι-
τι· χοίνου κόμη καυθεῖσα, καὶ σὺν μέλιτι ἐπιτεθεῖσα·
τὰ δὲ ἐξ ὑποδημάτων παρατρίμματα· πνεύμων ἄρ-
νειός τε καὶ χοίρειος· καὶ αἰγὸς ποιεῖ τὸ ἀπὸ τῶν κα-
τυμάτων δέρμα καυθέν, θερμαίνοντα μὲν οὐκ ὠφελεῖ·
παυσάμενα δὲ τῆς φλεγμονῆς, ὀνίνησι· ξηραντικὴ
γάρ ἐστιν ἡ τοιαύτη τέφρα· κρόμμυον σὺν ὀρνιθίῳ στέα-
τι λεῖον· κίκινον καυθὲν καὶ ξύσας ἐπίπασσε· ἀνακι-
σὺν ὄξει δὲ ἐπίχριε·

πρὸς τὰ πυρίκαυστα·

Τὰ δὲ πυρίκαυστα τῶν μετρίως ῥυπτόντων δεῖται φαρμά-
κων χωρὶς τοῦ θερμαίνειν· ἢ τύχῃ ἐπιφανῶς· γῆ τοίνυν
Χία· καὶ κιμωλία· καὶ πᾶσα ἡ κούφη γῆ καλῶς χρι-
ομένη δι' ὄξους μὲν πάνυ δριμέος· ἢ ὕδατος μιγνυμέ-
νου ποιοῦσι καλῶς· κωλύουσι φλυκταινοῦσθαι·
καὶ ᾠὸν ὅλον ὠμὸν παραχρῆμα ἐπιτιθέμενον, ἀ-
ναλαμβανόμενον ἐρίῳ μαλακῷ· καὶ γὰρ ἐμψύχει
μετρίως· ἀδήκτως ξηραίνει· μέλαν γραφικὸν πρόσ-
χριε καὶ φακὸν ἑψήσας καὶ λεάνας κατάπλασσε·
κονὶ ~~ἀχυ~~ οὐνεῖον κηρωτῇ μίγνυε· καὶ τὸ ὀθόνιον ἐμ-
πλάσσων ἐπιτίθει· τὰ δὲ ἡλκωμένα πρασίοις λείοις
κατάπλασσε· πτελέας βοὸς κόπρον τὸ ὀθόνιον ἀλεί-
ψας κατάκαυσε ἕως τέφρα γένηται· καὶ δὲ ἐλαίῳ
χρῶ· θαυμαστὸν φάρμακον πίτυος· ἢ πεύκης
φλοιός· ἢ ἄσβεστον ξηρὸν λεῖον· ἢ μυρσίνης φύλλα·

κατακεκαυμένα· λάδα ποιεῖ δὲ τοῦτο ἕκαστον καὶ
μετὰ κηρωτῆς συντιθέμενον· πρὸς δὲ τὰ ἀφύδαλος
κατακαύματα πλὴν φλυκταίνας γενέσθαι. ἐλαιῶν ἐλκωδῶν
ἁλμάδων ὕδωρ συνεχῶς καταντλεῖ· καὶ αὐλακὰς λαο
ἁλμάδας ῥίψας ἐπιτίθει. ἢ σύπληρίαν ξέστην ῥίψας
μετὰ ὄξους ἐπίχριε. ἢ ὡς ἀσκαμάντιος ἐθεράπευε.
βολβοὺς κρίνων μετὰ ῥόδων ῥίψας· καὶ ποίησον
καὶ γλυῶδες κατάχριε :—

## Πρὸς ἐξανθήματα

Ἐξανθήματα γίνεται παχέων χυμῶν ἐν τῷ δέρ-
ματι σφηνωθέντων. καὶ πλέον κατὰ τὴν ἐπιδερ-
μίαν πυκνὴν οὖσαν. χρὴ οὖν αὐτοὺς κενοῦν διὰ
τοῦ δέρματος. καὶ μὴ πόρρω διὰ πάντων εἰς τὸ βάθος
ἐπὶ τῷ διὰ ἰατρός. ἢ δεῖ μετὰ τῶν κενῶσαι. καὶ μή-
τις ὑπολάβῃ συμβουλεύειν με, μηδέποτε καθαί-
ρεσθαι τοὺς τοιούτους χυμοὺς διὰ γαστρός. δεῖ γὰρ ἐφ᾽ ὧν
πλῆθος κατακέχυται χυμῶν καθαίρειν. εἰ γάρ τις μὴ πρά-
ξας τοῦτο πρότερον ἐπιχειροίη διαφορεῖν, ἐμφράξει
μᾶλλον, ἢ κενώσει διὰ τοῦ δέρματος τοὺς χυμούς.
ἀλλὰ τὴν τε θεραπείαν τῶν ἐμπεπλασμένων τῷ
δέρματι χυμῶν διὰ τῶν κυρίων τῶν θερμαινόντων π-
οιητέον. καὶ μάλιστα ὅταν πλατέα τυγχάνωσι τὰ ἐξαν-
θήματα. τὰ γὰρ τοιαῦτα δηλοῖ τὸν χυμὸν λεπτὸν καὶ θερ-
μὸν ὑπάρχειν. ἀλλ᾽ ἱκανῶς ψυχρὸν καὶ παχύν. δά-
φνης οὖν φύλλων ἁπαλῶν καὶ πηγάνου. καὶ μαράθου
ἴσον ἑκάστῳ ῥίψας, καταπλάσσε. κηροῦ λη΄. θείου
ἴσον. ἀλόης λς΄. τὰ ξηρὰ ῥίψας καὶ ἐπιχέας ἐλαί-
ου κοτύλης ἥμισυ. πάντα ὁμοῦ ἕψε καὶ γινομένου
ἐμπλαστοῦ, χρῶ. προσεδρεύειν χρὴ τῇ ἐκθέσει.
ἀγαθὸν σφόδρα τὸ φάρμακον :—

## περὶ κνησμῶν

Κνησμοὺς κατασκευάζειν μὲν χρὴ, ὅταν ἐκ τοῦ γ'
βάθους προσκαλέσασθαι δέον· ἢ χυμοὺς· κωλύειν
δὲ ὅταν ποδεῖ τὰ κνώμενα μόρια κινδύνου· ἢ ψώ-
ρας· ἢ λέπρας· ἢ τινὸς τῶν κακοήθων ἑλκῶν συστῆναι·
κωλύεται δὲ ἢ διὰ φαρμάκων ἀποκρουόμενος, ἢ διὰ
τοῦ καρτερεῖν κνησιῶντα καὶ μὴ ψαύειν παύεσθαι
γὰρ πέφυκεν ἡ κνῆσις καὶ οὕτως· πρὸς δὲ τοὺς ψωρώ-
δεις κνησμοὺς θάλασσα θερμὴ· ἢ ὄξος θερμὸν τοῦ
θύμου ἀγρίου ἀφεψήματι ὁμοίως· καὶ ἀμπέλου πα-
λαιᾶς φλοιοῦ ῥίψας ἐπίσακε· καὶ ῥίψας τοὺς
ψωριῶντας τόπους· βουτύρῳ ἐπίπλασσε τούτῳ καὶ
κατάδει· χρῶ δὲ τῷ φαρμάκῳ μέχρις ἂν ὑγιασθῇ·
τὸ δὲ ὄπιον καὶ ὕδρας κηρωτῆς συναλειφόμενον τοὺς
κνησμοὺς καὶ τὰ θρυψόραπια παρηγορεῖ· χὐσραπια

## περὶ φλυκταινῶν

Καὶ τὰς φλυκταίνας δὲ ὀξεῖα βελόνῃ τιτρᾶν προσήκει κ'
καὶ ὑπόρρυσιν· εἶτ' ἐκθλίβειν πράως τὸ ὑγρόν· ἐῶντα
τὸ δέρμα προσκείμενον· κἂν πληρωθῇ μετὰ τὸ τοῦ
τρήματος, ἡ φλύκταινα, πάλιν αὐτὴν διατιτρᾶν ὁμοίως·
καὶ ἐκθλίβειν τὸ δέρμα· καὶ φυλάττειν προσαλ-
λήλοις ἄχρις ἂν ἐπουλωθῇ τὸ ὑπ' αὐτῶν ἑλκούμενον· πρὶν
δὲ ἐκραγῆναι τὰς φλυκταίνας· ἑφθῷ φακῷ
λείῳ μεθ' ὕδατος καταπλάσσε· ἢ ῥοιᾶς ῥαβδία χλι-
αίνων ἐν τῷ ἑφθῷ θερμὸν τίθει καὶ καθ' ὅλου τοῦ τόπου·
ἐὰν δὲ ἐκραγῶσι, καὶ ἕλκος γένηται, στέαρ ὕειον τῆξον
μετὰ φακῆς λείας· εἰς ὀθόνιον ἐμπλάσας ἐπιτίθει·
ἢ κρίνου ῥίζαν ἑψήσας ἐν ὕδατι· καὶ ῥίψας μετὰ κη-
ρωτῆς ἐπιτίθει:— περὶ ἀναβιβρωσκομένων ἑλκῶν θ'
Τινὰ δὲ τῶν ἑλκῶν σηπούμενα, πολλάκις μὲν

χρόνου οὐ πολλοῦ, αὖθις φλεγμαίνουσί τε καὶ ἀναρ-
ρήγνυνται. πλαδῶντος γὰρ ὅσου τινός, ἐνίοτε καὶ ἐπικει-
μένη σὰρξ ἐπουλοῦται μὲν ῥᾳδίως. ἡ οὐλὴ τῆς ἐναιδονο-
τελέως. πάλιν δὲ ἰσχυρῶς ἐπιρρυέντος, καὶ τοῦ λίθου
ἐντοῦ φθειρομένου κατὰ τοῦ βάθους ὀστοῦ. φλεγμονή
τε καὶ πύον ὑπογίνεται τὴν οὐλὴν ἀναξαίνων. τίς οὖν
ἡ θεραπεία τῶν τοιούτων ἑλκῶν. ξηραντοῖς ἐπὶ
τοσοῦτον ὥστε ἀποστῆναι τὸ πεπονθὸς ὀστοῦν. ῥᾳδίως
οὖν ἀναπληροῦνται τὰ ἐκπαθήματα τῶν ὀστῶν. ἢ μήκων
ἀγρία. καὶ σύκης φύλλα λεῖα μετὰ παιπάλης
ἀλφίτου καὶ οἴνου καταπλασσόμενα, ὑοσκυάμου σπέρ-
μα. καὶ χαλκάνθου ἰσάριθμα ἐπιθετέον. πανακα-
νου ἡ ῥίζα λεπτὰς ὀστέων ἀφίστησιν ἐντάχα:

## περὶ κακοήθων ἑλκῶν

Τὰ δὲ κακοήθη καὶ δυσεπούλωτα. καὶ χρόνια. καὶ
ἐκπεδονώδη τῶν ἑλκῶν λημνία σφραγὶς ὠφελεῖ
μεγάλως. ἡ δὲ χρῆσις γίνεται κατὰ τὸ μέγεθος τῆς
τοῦ ἕλκους κακίας. τὸ μὲν γὰρ ὀλισθῶδες, καὶ μιαντα πλα-
δαρὸν καὶ ῥυπαρὸν ἀνέχεται δι' ὄξους δριμυτά-
του τῆς λημνίας ἀνιεμένης εἰς πηλώδη σύστασιν. καὶ
δι' οἴνου ἢ ὕδατος. ἢ ὀξυμέλιτος. ἢ ὀξυκράτου. ἢ μελι-
κράτου. ἢ ὅπως ἂν ἡ χρεία καλέσῃ ἐπιτήδειόν ἐστιν. εἴ τις
θυίαν ἐκ μολύβδου κατασκευάσας μετὰ δοίδυκος
μολυβδίνου, ῥόδινον ἐμβαλὼν. ἢ ὀμφάκινον ἔ-
λαιον. ἢ ἀειζώου χυλόν. ἢ χελιδόνος. ἢ θριδακίνης.
ἢ ψυλλίου. ἢ ὄμφακος τρίβων ἐπιμελῶς καὶ χυλόν τι-
νὰ ἄριστον ἕξει φάρμακον πρὸς τὰ καρκινώδη καὶ κα-
κοήθη τῶν ἑλκῶν. καὶ πρὸς τὰ ἐν αἰδοίοις καὶ ὄρχε-
σι. καὶ μαστοῖς φλεγμονάς. πρὸς τὰ ἐν ἕδρᾳ μεθ' ἡ-
κῶν ἢ σολίδων ἀνεξαμένων. κενταυρίου τὸ μικρὸν

Κατὰ πλασσόμενον πρόσφατον· τὰ παλαιὰ καὶ δυσε-
πούλωτα τῶν ἑλκῶν ἐπουλοῖ. Καὶ τὰ κακοήθη
ἰᾶται· κυπείρου τὰ φύλλα καὶ οἱ βλαστοί· καὶ τὰ
σφαιρία τὰ νέα καὶ ἁπαλά· καὶ τὰς κατὰ βάθος
ὑγρότητας ἐν ταῖς πλαδαραῖς καὶ σηπεδονώδεσι δια-
θέσεσιν· ἀλύπως τε ἅμα καὶ ἀσφαλῶς ἐκβόσκεται.
κυπείρου ῥίζαι τὰ δι' ὑγρότητα πολλὴν ἕλκη ὕδρια δυσε-
πούλωτα θαυμαστῶς ὠφελοῦσι. κολοκύνθης ξη-
ρᾶς κεκαυμένης ἡ τέφρα τοῖς ὑγροῖς ἅμα καὶ χωρεὶς
φλεγμονῆς σηπομένοις ἁρμόττει· καὶ μάλιστα τοῖς
ἐπὶ πόσθης αἰδοίων· ὁμοίως καὶ ἀνήθου ῥίζης ἀρνό-
γλωσσον πρὸς τὰ κακοήθη καὶ ῥεύματα καὶ σηπε-
δόνας ἁρμόττει. σευτλὶς ἡ ἥμερος πρὸς πᾶν ἕλκος κα-
κοήθες δρᾶ κριανθίσασα· κἂν σήπηται· κἂν ἀνα-
βιβρώσκηται· εἰ δέ πως τι τοῦ κάμνοντος φύσει ἰσχυρο-
τέρα φαίνοιτο, μιγνύναι χρὴ τοῖς φύλλοις αὐτοῖς λεανθεῖ-
σιν, ἢ ἄρτον ἢ κρίθινον ἄλευρον· ἢ πύρινον· ἢ ἄλφιτα·
ἢ κατὰ τὴν ἐπίτασιν τούτων ἐν ἑκάστῃ διαθέσει, ὥσπερ
καὶ χρώμεθα πρὸς τὰς ἐν ῥεύματι χρονίας.
Καὶ διὰ σαρκώσεως κοιλότητας, ὅσαι συριγγώδεις εἰσὶ
καὶ βαθεῖαι· ἔρια κεκαυμένα τὰς πλαδαρὰς σάρκας
τῶν ἑλκῶν ἀποτήκει μάλιστα πλατάνου φλοιὸς καυθεὶς
καὶ ἐπιπαττόμενος· τὰ δὲ δι' ὑγρότητα πολλὴν ἕλκη πλα-
δαρὰ καὶ ῥυπαρὰ ἰᾶται, πανακοδάνου ῥίζα τοῖς κακο-
ήθεσιν ἕλκεσιν ἄριστόν ἐστι φάρμακον· ἐπιπαττομένη
ξηρά· αὕτη γὰρ καὶ καθαίρει καὶ σαρκοῖ· καὶ ἐπουλοῖ.
ἀλόη τὰ δυσεπούλωτα τῶν ἑλκῶν ἰᾶται· καὶ μάλιστα
τὰ κατ' ἕδραν τε καὶ αἰδοῖον· ὠφελεῖ δὲ καὶ τὰς φλεγμονὰς
αὐτῶν ὕδατι διαλυθεῖσα. παλαιὰ δὲ ἕλκη ἰᾶται κηρὸς
ἐν ἡλίῳ μαλαχθεὶς· καὶ χαλκοῦ λεπίσματα πλάστω

ἀναλαβὼν· ἢ χρυσοκόλλαν· δεῖ δὲ εἰς ὀθόνιον ἐμ-
πλάσσοντα τίθεσθαι· καὶ μὴ ἀφαιρεῖν συνεχῶς τὸ ὀ-
θόνιον· πρὸς δὲ τὰ χρονίζοντα ποιεῖ χαλκοῦ λεπί-
δος γρ. α· κηροῦ τὸ ἴσον· στυπτηρίας γρ. β· τὸν κηρὸν θερμά-
νας καὶ μαλάξας ἀνάλαβε τὰ ξηρὰ λεῖα· καὶ εἰς
ὀθόνιον ἐμπλάσας ἐπιτίθει· πρὸς δὲ τὰ θηριώδη·
σίδιον λεῖον καύσας ἐπιτίθει· ἢ στυπτηρίαν σχιστὴν
κεκαυμένην λείαν ἐπιτίθει· ὑσσώπου γρ. α· σταφί-
δος ἴσον· νίτρου γρ. β· προϋποχρίσας μέλιτι τὸ ἕλ-
κος, ἐπίπαττε αὐτὰ λεῖα· τὰ δὲ σηπεδονώδη
καὶ νεμόμενα τῶν ἑλκῶν, ἰσχυροτάτων δεῖται φαρμά-
κων· οἷόν ἐστι χαλκῖτις· καὶ ἀρσενικόν· καὶ τίτανος·
καὶ γὰρ παραπλησίως τὰ τοιαῦτα πυρί· καὶ πολλά-
κις τούτων νικώμενοι· καὶ αὐτῷ πυρὶ χρώμεθα· πρά-
σιον ἑφθὸν ἐν οἴνῳ καταπλάσσε· ὀρόβιον λεῖον μετὰ
μέλιτος ἐπιτίθει· ἐλαίας ἁπαλῆς φύλλα ἑφθοῖς ἐν
οἴνῳ λείοις ὡσαύτως χρῶ· καταντλητέον δὲ θαλάσσῃ
θερμῇ· τοὺς σκώληκας τοὺς ἐν τοῖς σηπεδονώδεσιν
ἕλκεσι χυλὸς καλαμίνθης ἀναιρεῖ·

## πρὸς ἄνθρακας·

τα Τοὺς ἄνθρακας μελαγχολικὸν τὸ αἷμα γινόμενον καὶ
ἀναζέσαν, ἐπιφλέξαντες τὸ δέρμα ποιεῖ· δοκεῖ καὶ
σὺν ἐσχάρᾳ γινόμενοι φλυκταινοῦσθαι προϋπούσης τοῦ ἕλκους
ὡς ἐπὶ τῶν πυρικαύστων· πυρέσσουσί τε ὀξύτατον· καὶ
κινδύνους ἐπάγει ταχύ· κινοῦσαν θανάτων ἢ ἔνιοί τε καὶ
πλείους συνεξανίστανται φλύκταιναι· μικραὶ καὶ πυκναὶ
καὶ συνεχεῖς· ὅμοιαι κέγχροις· αἵτινες ῥηγνύμεναι
ποιοῦσιν ὁμοίως ἐσχαρῶδες τὸ ἕλκος τὴν χροιάν· πο-
τὲ μὲν τεφρώδης ἐσχάρα ἐπὶ κύκλῳ φλογώδης καὶ μέλαι-
να τὴν χροιὰν γίνεται· καὶ στίλβουσα παραπλησί-

ἀσφάλτου καὶ πίσσης. τοιαύτη δέ ἐστιν ἀκριβῶς με-
λαινα χολή. θεραπεύοντες δὲ τὸ τοιοῦτον πάθος, ἀ-
πάθος, ἀπὸ φλεβοτομίας ἄρχεσθαι προσήκει. καὶ
κενοῦν μέχρι λειποθυμίας καὶ (μὴ) ἀποχάζειν μετὰ
φλεβοτομίαν οὐ καὶ ὑδρομος), βαθυτέραις ταῖς ἀμυχαῖς
χρωμένους. διὰ τὸ τοῦ χυμοῦ πάχος. κατὰ δὲ τοῦ πεπον-
θότος τοῖς ἀποκρουομένοις μετρίως καὶ διαφοροῦσι
χρησόμεθα τὸ δι' ἀρνογλώσσου καὶ φακῆς ἑφθῆς κα-
τάπλασμα. προσλαμβάνων ἄρτου τοῦ κλιβανίτου
τὸ ἁπαλόν. μήτε λίαν καθαροῦ, μήτε ῥυπαροῦ. κα-
τ' αὐτοῦ δὲ τοῦ ἕλκους ἐπιθήσομεν τῶν σφοδρῶν τι φαρ-
μάκων. οἷόν ἐστι τὸ Ἄνδρωνος ἀνιέντες σιραίου, ἄχρι
γλοιώδους συστάσεως. παυσαμένης δὲ τῆς φλογώσεως
τοῖς ἄλλοις ἕλκεσιν. ὁμοίως ἐπουλοῦν ἄξομεν τὸ ἕλκος.
παλαιὰ κάρυα τὰ ἐλαιώδη πρὸς ἄνθρακας ποιεῖ. (καὶ
κυπαρίσσου τὰ φύλλα. καὶ οἱ βλαστοί. καὶ τὰ νέα καὶ ἁ-
παλὰ σφαιρία σὺν ἀλφίτοις. καὶ σταφὶς ἐκγεγιγαρτισμέ-
νη. καὶ λειωθεῖσα. καὶ ἰσχάδες ἑφθαὶ ἐν οἴνῳ κοπεῖ-
σαι.

πρὸς καρκίνους

Καὶ οἱ καρκῖνοι δὲ ἐκ μελαίνης χολῆς ζεούσης συνίσ- ιβ
ταται. κἂν δριμύτερα τύχοι μεθ' ἕλκους. διὰ τοῦτο καὶ
τὴν χρόαν μελάντεροι τῶν φλεγμονῶν εἰσι χωρὶς θερμό-
τητος. αἱ φλέβες δὲ πληροῦνται. καὶ γίνονται πλέον
ἐπ' αὐτῶν ἢ ἐπὶ τῶν φλεγμονῶν. οὐδὲ αὗται παραπλη-
σίως ταῖς φλεγμοναῖς ἐρυθραὶ τυγχάνουσαι, κατὰ
τὸν χυμὸν τὴν χρόαν ἔχουσαι. διὰ δὲ τὸ πάχος τοῦ
χυμοῦ. τούτου καὶ ἀνίατος ὁ καρκῖνος ἐστί. μήτε ἀπο-
κρουσθῆναι δυνάμενος. μήτε διαφορηθῆναι. μή-
τε ἐπὶ ταῖς καθάρσεσιν ὅλου τοῦ σώματος εἴκοντος. καὶ
τῶν μὲν πραοτέρων φαρμάκων ἐπιτιθεμένων

καταφρονῶν· ὑπὸ δὲ τῶν σφοδροτέρων παροξύνονται. δυνατὸν μὲν τοὺς ἀρχομένους καρκίνους κωλύειν αὔξεσθαι. καθαίροντας τὸν μελαγχολικόν· πρὶν ἐν τῷ πεπονθότι μορίῳ στηριχθῆναι· κενώσομεν δὲ διὰ τῶν ἁπλῶν τινός· οἷον ἐστὶ τὸ ἐπίθυμον· πλῆθος δὲ ἐν ὀρρῷ γάλακτος· ἢ μελικράτῳ διδόμενον· ἢ διὰ τῆς ἱερᾶς· τὸ μέλαν ἐλλέβορον προσλαμβανούσης· ἐπὶ δὲ τοῦ πεπονθότος τόπου προσφερόμενον· ἀλύπως ποιεῖ ἐπὶ τῶν ἑλκωμένων στρύχνου χυλός· ὀθονίου μαλακοῦ βαφέντος τῷ χυλῷ· δεῖ δὲ καὶ ἔξωθεν κατ᾽ αὐτοῦ καὶ ἕτερον ἁπαλὸν περιβάλλειν· βρεχόμενον καὶ αὐτὸ τῷ χυλῷ· προνοεῖν δὲ ὅπως μὴ ξηρανθῇ ταῦτα συνεχέστερον ἐπαντλουμένου τοῦ χυλοῦ· χρήσαιτο δ᾽ ἄν τις δεόντως ἐπὶ τῶν ἑλκωμένων καρκίνων· καὶ τῷ διὰ πομφόλυγος· διαιτάσθω δὲ ὁ πάσχων ἔν τε χυλῷ πτισάνης καὶ γάλακτος ὀρρῷ· καὶ λαχάνων μαλάχης· καὶ κολοκύνθης· καὶ τὰ ὅμοια· καὶ τοῖς πετραίοις τῶν ἰχθύων· καὶ πᾶσιν ὄρνισι πλὴν τῶν ἑλείων:

## πρὸς σαρκῶν θλάσματα καὶ ἐκχυμώματα·

π' Σαρκὸς θλασθείσης ὑπό τινος βάρους ἐμπεσόντος· καὶ σμικρῶν ἐν αὐτῇ φλεβίων διακριθέντων, αἷμα προχεῖται κατὰ διαπήδησιν· ὅπερ ἀθροιζόμενον ὑπὸ τῷ δέρματι, ποιεῖ τὸ καλούμενον ἐκχύμωμα· τοῦ δέρματος μὴ διαιρεθέντος· σκοπὸς οὖν ἡμῖν διαφορῆσαι τὸ θρομβωθὲν αἷμα· καὶ τοῦτο συντόμως πρὶν μελανθῇ· κατ᾽ ἀρχὰς δὲ τῶν στυπτικῶν προσεπιπλέκειν χρὴ τοῖς διαφοροῦσι διὰ τὸ τοὺς χιτῶνας τῶν φλεβῶν τεθλάσθαι· καὶ χρῄζειν πυκνώσεως· μετὰ γὰρ ταῦτα καὶ χωρὶς τοῖς διαφορητικοῖς μόνοις χρησόμεθα· καὶ ἀποσχάζοντες ἐν ἀρχῇ τὰ ἐκχυμώματα

οὕτως τὴν ἑξῆς θεραπείαν προσάγοντες. εἶδος δ' ἐστὶ
τῶν ἐκχυμωμάτων· καὶ τὰ καλούμενα ὑπώπια· καὶ
τὰ ὑποσφάγματα· καὶ ἡ κατὰ τοὺς ὄνυχας ὑποδρομὴ
καὶ τοῦ αἵματος, ἐκ πλήξεως γινομένη. δέρμα προβά-
του νεωστὶ ἐκδερόμενον τοῖς μεμαστιγωμένοις ἐπιτε-
θὲν θεραπεύει ἐν μιᾷ ἡμέρᾳ. μάλιστα δὲ ὠῶν ἀλμ. ὑσσωπέ-
περὶ ἅμα τῷ καρπῷ καταπλασσόμενον, ὑπώπιά
τε καὶ τοὺς ἐσκιρρωμένους ὄγκους ὠφελεῖ· καὶ
διαφορεῖ. περὶ ῥήγματος καὶ σπάσματος: ιθ
Τὰ ῥήγματα σὺν ἐκχυμώσεσι γίνεται πάντως. ἰᾶται δὲ
αὐτῶν τῶν φαρμάκων τῶν μετρίως καθαιρούντων· τοιοῦτον
δ' ἐστὶ τὸ διὰ τῶν αἰγείρων ἄκοπον· καὶ ὁ σὺν τούτῳ ὅμοια·
δεῖ δὲ ἐπὶ τῶν ἐν τῷ βάθει τοῦ σώματος ῥηγμάτων ἐπι-
τείνεσθαι τὴν δύναμιν τῶν φαρμάκων, ὡς δριμύτε-
ρα καὶ τμητικώτερα προσάγεσθαι· ὠφέλιμος δ' ἐπὶ
τῶν τοιούτων καὶ ἡ τῆς σικύας χρῆσις. ἐὰν δὲ μὴ εὐθὺς
διαφορηθῇ τὸ ὅλον, ἐκχυμώμασι συμφύεται ῥᾳδίως
ἡ διεστῶσα σάρξ. ἐὰν δὲ χρονίσῃ· καὶ ῥύπος ὑποτρα-
φῇ, συμφῦναι τὰ ῥήγματα, λοιπὸν ἀδύνατον· παρα-
τίθεται δ' ἀλλήλοις κατὰ χείλη μόνον ὡς καὶ μικρὰν πρό-
φασιν ῥᾳδίως αὐτὰ διΐσταν· ἐμπίπλασθαί τε τὴν με-
ταξὺ χώραν αὐτῶν ὑγρότητός τινος· καὶ τρόπον τινὰ συνε-
χῶς ἐκχύμωμα γίνεσθαι παραπλήσιον τῷ κατ' ἀρχάς.
πλὴν ὅτι θᾶττον ἐκείνου διαφορούμενον· ἀεὶ ἰχῶρα
λεπτὸν περιέχον τοῦ κατ' ἀρχὰς ἐξ αἵματος συνισταμέ-
νου. τὸ δὲ σπάσμα γίνεται διασπωμένων τινῶν ἰνῶν· καὶ
παρηγορεῖσθαι μόνης δεῖται ἀνωδυνίας· κολλη-
θῆναι γὰρ αὐτὰς οὐ δυνατόν. ἀριστολοχία στρογγύλη
ῥήγμασι καὶ σπάσμασιν ἐπιτ. τι καὶ ἄλλο ἐπιτήδ.·
κενταυρίου τοῦ μεγάλου ἡ ῥίζα· ὁμοίως καὶ ὁ χυλὸς

αὐτῆς· ῥέον· κόστος· βδέλλιον σὺν ὀξυμέλιτι πινό-
μενον· Πρὸς στρέμματα· καὶ θλάσματα·

ιε' Πρὸς στρέμματα ἢ καὶ θλάσματα ποιεῖ ἔρια ἢ οἰ-
σπηρὰ· ἀπὸ τοῦ ὄξους καὶ ἐλαίου βρεχόμενα καὶ ἐπιτιθέ-
μενα· βολβῶν ἑφθῶν τὰ ἁπαλὰ μετὰ μέλιτος· ἢ κη-
ρωτῆς χρῶ· ἢ καὶ καταντλεῖσθαι ὕδατος θαλαττίου θερ-
μαίνων· μετὰ τὸ παύσασθαι τὴν φλεγμονὴν καὶ τοὺς
πόνους· καὶ ἀνακτᾶσθαι τῶν χρωτῶν ἐστραμμένων·

Σκολόπας· ἀκίδας· ἀκάνθας ἀνάγει·

ις' Ἀκίδας καὶ καλάμους· καὶ ἀκάνθας· ἔτι δὲ καὶ σκόλο-
πας ἐπισπῶνται ἀνατταλλύγες αἱ δύο· ἀριστολοχία
ἀμμωνιακὸν σὺν μέλιτι, ὑοσκυάμου καρπὸς λεῖος κα-
ταπλασσόμενος· καλάμου ῥίζας κόψας· καὶ μέλι-
τος μίξας, εἰς ὀθόνιον ἐμπλάσσων, ἀκριβῶς ἐπιτί-
θει καὶ καταδεῖ· συντόμως ἀνάγει·

Περὶ παρωνυχιῶν·

ιζ' Τὴν παρωνυχίαν μικρὰν οὖσαν καὶ ἀρχομένην, κη-
κῖς μετὰ μέλιτος καταστέλλει· καὶ κωλύει συστῆναι·
γινομένην δὲ ἤδη τὴν παρὰ φύσιν σάρκα· σκοπὸς
ἔστω διὰ τῶν ἀδήκτων ἀναλῶσαι καὶ τῆξαι· ποιεῖ
δὲ καὶ πρὸς παρωνυχίας· ὁ λεπτὸς ῥύπος· καὶ τὸ λύκιον· ἢ ὄλεον
ἐμποιηθεῖσαν ἢ κεντήσας· καὶ τὸ ὑγρὸν ἐκχέας· σπόγ-
γον ἐν ὕδατι βρέξας ἐπιτίθει· ἢ καταπλάσσε φα-
κῷ μεθ' ὕδατος λείῳ· ἢ ῥόδοις χλωροῖς· ἢ ξηροῖς ἀπο-
βεβρεγμένοις ὕδατι λείοις καταπλάσσε· ἢ ἀλφίτῳ
λείῳ μεθ' ὕδατος· δεῖ δὲ καὶ διαστέλλειν τὴν σάρκα
πανταχόθεν ἀπὸ τοῦ ὄνυχος ξύσμασιν ὀθονίου·
Τοὺς δὲ τεθλασμένους ὄνυχας μυρσίνη καὶ ῥοιᾶς
φύλλα ἁπαλοῖς λείοις καταπλάσσε· ἐπὶ δὲ τῶν
ὑφαίμων ὀνύχων, ἄλευρον πίσσῃ μίξας, ἐπιτί-
θει

ἄλλο πρὸς τὸ ἀφιστάναι τοὺς πεπονηκότας ὄνυχας. θεῖον ἀ-
ναλαβὼν ὑγρῷ στέατι ἐπιτίθει. τοὺς δὲ λεπιδροῦντας
ὄνυχας ἀποσκόπτε τούτῳ. ἰξοῦ δρυΐνου. σανδαρά-
κης. τιτάνου ἀνὰ 𐅻 β΄. κανθαρίδων. θαψίας ἀνὰ 𐅻 α΄.
ὄξους τὸ αὔταρκες. ποιεῖ δὲ πρὸς αὐτοὺς ῥὺξ ξηρά
μετὰ κηρωτῆς ἐπιτιθεμένη. ἢ σύκων σὰρξ κοπτο-
μένη χωρὶς τῶν κεγχραμίδων. ἢ προϋποχρίσας πίσ-
σῃ τὸν ὄνυχα, θείῳ καὶ σανδαράκῃ, λείοις ἴσοις
καταπλάσσε. χρὴ δὲ ἐπιμελῶς ἐπιξέειν τόν τε ὄνυ-
χα. καὶ ὁμαλίζειν. καὶ ἐπιδεῖν. καὶ ἀποστάξεις τῶν ὀ-
νύχων χρῆσθαι. πρὸς δὲ τὰ ἐν τοῖς δακτύλοις πτερύ-
για. λιβανωτὸν λεῖον ἐπιτίθει καὶ ἐπίδει. ἢ ὄροβον
λεῖον ὡσαύτως. ἢ λιβανωτοῦ ἀλώμου μέρος α΄. σανδα-
ράκης τὸ διπλάσιον. λεῖα ἐπιτίθει τῇ ῥίζῃ τοῦ ὄνυ-
χος διαπάσσων ἐπιμελῶς. καὶ ἄνωθεν ἐπιτίθει
ξηρὰ τίλτα. τοῦτο ξηραίνει τὰ πτερύγια συντόμως.
ἄλλο ἀγαθὸν σφόδρα ποιοῦν καὶ πρὸς τὰ κακοηθι-
ζόμενα. κηκῖδας καὶ σιδίων ῥοιᾶς ὀξείας. καὶ λεπί-
δος ἐρυθροῦ χαλκοῦ. καὶ ἰσχάδων κεκαυμένων τὸ
ἴσον, τρίψας καὶ μίξας μετὰ μέλιτος. καὶ ἔγχρισον
πλάτος ποιήσας μοτοὺς ἐγχρίων ἐπιτίθει δὶς θερα-
πεύων τῆς ἡμέρας. καὶ ἐπιδέων. μὴ λιπαίνειν. μὴ
δὲ βρέχων τούτους. ἐὰν δὲ ὑγρὸν ᾖ, σπογγίζειν. ἀ-
ποβρέχων τὸν σπόγγον ἐν οἴνῳ.

## περὶ τῶν ἐν ἄρθροις ἡλκωμένων.

Τὰ ἄρθρα ξηρότερα τῶν ἄλλων σαρκωδῶν ἐστὶ μορί- τη
ων διὸ πάντως ἑλκωθέντα ξηροτέρων χρῄζει φαρμάκων.
καλῶς δὲ ποιῶ ὁ τοῦ πολυγόνου χυλὸς ποιεῖ μετ' οἴ-
νου τριβόμενος ἕως γλοιώδους συστάσεως. καὶ τὰ ὅμοια
τούτῳ ξηραίνοντα. καὶ θάλαττα καὶ ἅλμη πολλάκις.

αἰονήσαντες αὐτὰ θερμῷ ἐλαίῳ ἔπειτα ἔμμοτα δηλαδὴ τιθέ-
μενα· χρηστέον οὕτως ἐπὶ τῶν ἄρθρων, καὶ τοῖς μᾶλ-
λον ξηραίνουσιν·

## περὶ αἱμορραγιῶν·

Γθ

αἱμορραγίας βοήθημα ἐστὶ τὸ ἐπιτήδειον σχῆμα τοῦ
τετρωμένου μορίου· τοιοῦτον δ' ἐστὶ τὸ ἀνάρροπον μετ'
ἀνωδυνίας· τὸ γὰρ κατάρροπον ὀδυνῶδες· καὶ κινη-
σιν καὶ τὰς συνεχούσας· ἐπὶ τῶν τετρωμένων αὐτῶν καὶ αἱμο-
ραγούντων ἐπιβάλλειν τὸν δάκτυλον εὐθὺς τῷ τοῦ στο-
μίου τοῦ αἱμορραγοῦντος ἀγγείου πράως πιέζων
καὶ ἀνωδύνως· θρόμβου γὰρ ὑποβάλλοντος ἐπιπαγέντος
ἡ αἱμορραγία στήσεται· καὶ ἐπισχεθείσης αὐτῆς
οὕτως τοῖς ἐναίμοις χρηστέον· κάλλιστα δ' αὐτῶν ἐστὶ τὰ
ἐμπλαστικὰ μᾶλλον τῶν ἐσχαρούντων· ἀποπι-
πτούσης γὰρ ἐνίοτε τῆς ἐσχάρας, αἱμορραγῆσαι
πολλάκις κίνδυνος· ἄριστον δ' ἐστὶ καὶ τὸ πρὸς τὰς
γρ. μηνιγγ
ἐκ τῶν μηνίγγων αἱμορραγίας ποιοῦν· λιβανω-
τοῦ μέρος ἕν, ἀλόης ἥμισυ τῷ λευκῷ τοῦ ᾠοῦ φυ-
ρώμενα· ὡς μέλιτι παχώδη σύστασιν ἔχειν· εἶτα ἀναλαμ-
βανόμενα λαγωαῖς θριξὶ ταῖς μαλακωτάταις· καὶ
τῷ ἕλκει παντὶ πλεῖστον ἐπιτιθέμενον· ἔπειτα ἐξ ὀθό-
νης ἐπιδεσμεῖν δεῖ· τὰς μὲν πρώτας ἐπιβολὰς τέσ-
σαρας, ἢ πέντε κατὰ τοῦ αἱμορραγοῦντος ποιουμένων
ἡμῶν· ἐντεῦθεν δὲ ἐπὶ τὴν ῥίζαν νεμομένων· λύειν δὲ
τριταίας· καὶ εἰ μὲν ἀσφαλῶς ἔχει προσέχειν τῷ ἥ-
κει τὸ φάρμακον αὖθις ἐγκύκλῳ περιδεῖν· καὶ
ὥσπερ ἐπιτέγγειν τὸν ἐκ τῶν τριχῶν μοτόν· καὶ ἐπιδεῖν
ὁμοίως· ἐὰν δ' αὐτομάτως ὁ μοτὸς ἀποπίπτῃ· πιέζων
ἠρέμα τῷ δακτύλῳ τὴν ῥίζαν τοῦ ἀγγείου μηδὲν ἐ-
πιρρυῆναι πράως τοῦτον ἀφαιρεῖν καὶ ἕτερον ἐπιβάλλειν·

Καὶ χρῆσθαι τῷ τρόπῳ τούτῳ τῆς θεραπείας, ἄχρις
ἂν ἐπιτραπῇ τῷ ἀλγεινῷ σφόδρα· τὰ ποιοῦντα τὰς ἐσ-
χάρας· γυμνότερον ἐργάζεσθαι τὸ μόριον· ἢ κατὰ φύ-
σιν ἔχοντος τῆς ἐσχάρας ἀποπιπτούσης· καὶ πολλάκις
αἱμορραγία δυσεπίσχετος ἠκολούθησεν ἐκπεσού-
σης αὐτῆς· πλὴν ἔστιν ὅτε ἡ χρῆσις τῶν ἐσχαρωτικῶν
ἀναγκαία γίνεται· καθὰ καὶ τῶν διαπύρων καυτηρίων
τῆς αἱμορραγίας ἐξ ἀναβρώσεως ἢ ἐκπεσόντος ἐμπι-
πλούσης· ἰστέον τις ἡ μάζος ἐπέχει κατὰ τῶν αἱμορ-
ραγούντων ἐπιπλαττομένη καλῶς ἐπέχει· καὶ
κηκῖδες δὲ καυθεῖσαι· δεῖ ταύτας διαπύρους δι'
ὄξους ἢ οἴνου σβεννύειν· τούτου μιγνὺς ὡς οὐ τὸ λαχ
καὶ λεπτόν· καὶ ἀλεύρου πυρίνου τὸ χνοωδέστατον·
ὃ προσιζάνει τοῖς τοίχοις· ποιήσεις φάρμακον πρὸς
αἱμορραγίας ἐπιτήδειον· ἀναλαμβάνειν δὲ χρὴ καὶ τοῦ-
τως φυραθὲν λαγωαῖς θριξὶν ἢ τινὶ τῶν ὁμοίως μα-
λακῶν· πρὸς δὲ τὰς ἐκ στόματος γινομένας αἱμορραγίας,
ἢ θύμων· ἢ φακῶν· ἢ ἀκροχορδόνων· ἢ αἱμορροΐ-
δων· πράσου φύλλα κόψας, ἐπιτίθει· ἢ σπόγγον και-
νὸν βάψας εἰς πίσσαν ὑγρὰν ὠμὴν κατάκαυσον καὶ
λεάνας χρῶ· χρήσιμον σφόδρα· δέ ἐστι τοῦτο· διακλύσ-
ματα ἃ ποιεῖ πρὸς τὰς ἐκ στόματος αἱμορραγίας· ῥο-
δων χλωρῶν ἢ ξηρῶν ἀφέψημα ψυχρόν· ἢ ἑλίκων
ἀμπέλου ἢ σχοίνου φύλλων· ἢ βάτου· ἢ μήλων κυ-
δωνίων· ἢ ῥοιῶν· ἢ μύρτων· ἢ φακῶν· τοῖς δ' αὐτοῖς
τούτοις χρηστέον καὶ ἐγκαθίσμασι ψυχροῖς πρὸς τὰς
καθ' ἕδραν καὶ μήτραν· ἔσω δὲ καὶ ἡ δίαιτα τῶν αἱ-
μορραγούντων, στύφουσα καὶ παχύνουσα· οἷα ἐστὶ
χόνδρος καὶ ἄλευρον καθαρὸν ἑφθόν· καὶ κοχλίαι·
καὶ τυρὸς ἁπαλός· καὶ βολβοὶ ἑφθοί· καὶ ἰχθύς ὀπτοί

καὶ φοίνικες· καὶ οἶνος μέλας αὐστηρός· φακῆ ἄλφι-
τα· τῶν ᾠῶν λεπτῶν λέκυθοι· ἄπιοι ἀχράδες· μῆλα·
κυδώνια· οὖα· μέσπιλα καὶ τὰ παραπλήσια. πρὸ
δὲ τὰς ἐν ῥισὶν αἱμορραγίας τὰ τῆς πλατάνου σφαιρία
ξήραινε· καὶ ἐπὶ τίνος ῥιζίνου παραξύων τὸ ἀπόξυσ-
μα ἀπόρριπτε· τὰ δὲ κέφαλα ἀποτίθεσο· ἰσχ-
νὸν ὄστρακον ὠμὸν καινόν· ἐπὶ δὲ τῆς χρήσεως, ταῦτα
τὰ ἀραιώδη· διὰ καλάμου ἐμφύσα τὸ ὑμέτωπ
καὶ τὴν ῥῖνα καταπασσέτω· ἢ πηλῷ κεραμικῷ.
ποιεῖ δὲ καὶ πράσου χυλὸν ἐρίῳ ἐργασμένῳ ὑπομο-
τῷ ἀναλαμβανόμενος· καὶ ἐντιθέμενος ταῖς μυκ-
τῆρσι· καὶ μάννα χυλῷ πράσου φυραθεῖσα· καὶ
ἐντιθεμένη· χρὴ δὲ καὶ ἐλαίας φύλλα λεῖα ἁπαλὰ
ἔξωθεν τὴν ῥῖνα καταπλάσσειν· καὶ κώνειον ἐπὶ
μαλακῆς τέφρας θυμιᾶν ὑπὸ τοὺς μυκτῆρας· καὶ
σπόγγοις ἢ ἐρίοις εἰς ὕδωρ ψυχρὸν ἀποβεβρεγμέ-
νας ἐμφράττειν τοὺς πόρους ἑκατέρων τῶν ὤτων
καὶ σκέλη· καὶ χεῖρας ἐπιδεῖν καὶ μέτωπον· καὶ
κροτάφους ἀνακολλᾶν· τοῖς πρὸς τὸ ῥεῦμα τῶν ὀφθαλ-
μῶν ποιοῦσιν· ἐὰν δέ τινες ὑπολείπωσι θέρμοι με-
νούσης ἔτι τῆς αἱμορραγίας· τούτους μὲν ἐν σεσθαι
σικυοῖς ταχέως δὲ πάλιν χρῆσθαι τοῖς ἰσχαίμοις
φαρμάκοις· καὶ προσπιέζειν τοῖς χόνδροις τοῦ μυκ-
τῆρος ὑπ' αὐτὸ τὸ ὀ τοῖς δυσὶ δακτύλοις τῆς χειρός.
τῷ τε μεγάλῳ καὶ τῷ λιχανῷ· ποτίζεσθαι δὲ πρὸς
τὰς εἰρημένας αἱμορραγίας· καὶ ἔτι πρὸς τὰς τῶν ἐν-
τέρων πράσου χυλόν, ὡς κυάθου α'· ἢ δάφνης ἁπα-
λὰ φύλλα ῥίψας ἐν ὀξυμέλιτι πότιζε ἢ λιβανωτοῦ
καὶ δάφνης ἴσα λεάνας ἐν οἴνῳ μέλανι ἴσον καὶ ...εἰ
πότιζε ἢ ὅπλου ᾠοῦ λέκυθον μεθ' ὕδατος σύμμε-
ξυ

λεάνας πρόσφερε ἢ ἀλάρου καθαροῦ μόνου καὶ λιβανωτοῦ καὶ κόμμι ἴσα ῥίψας μεθ᾽ ὕδατος δίδου·

Πρὸς οὐλὰς μελαίνας καὶ λευκὰς καὶ στίγματα. κ

Οὐλὰς μελαίνας αἴρει βρυωνίας ῥίζης λευκῆς καὶ μελαίνης ἑψηθείσης ἐν ἐλαίῳ ἄχρι χυλώσεως τὸ ἔλαιον ἐπιχριόμενον. καλαμίνθη ἐν οἴνῳ ἑφθή. λιθάργυρος πεπλυμένος σὺν ῥοδίνῳ ἐλαίῳ λευκῷ. τὰς δὲ λευκὰς καὶ τὰς ἄλλας ὁμοχρόους ποιεῖ· ὕειον στέαρ καταχριόμενον σὺν λιθαργύρῳ. τοῦ λαχάνου ἢ τοῦ εὐζώμου χυλὸς καταχριόμενος σὺν λιθαργύρῳ. στίγματα δὲ ἐξαίρει βατραχίου καταπλασθέν. ἢ καππάρεως φύλλα. ἢ κιμμέριον θεῖον ὄξει καταχριόμενον χρόνῳ ἢ αἴρει τοῦτο. μάλωπας ἢ λαχέως ποιεῖ ὁμοχρόους, κρίνινον ἔλαιον ἐπαλειφόμενον συνεχῶς·

Περὶ νευροτρώτων. κα

Νεῦρον τρωθὲν διὰ τὸ περιττὸν τῆς αἰσθήσεως ὀδύνας τε καὶ φλεγμαίνει μειζόνως ἢ τἆλλα. διὸ σώζειν τὴν τοῦ δέρματος διαίρεσιν χρὴ ἀκόλλητον, ἵν᾽ ἐκχωρῇ διὰ ταύτης τὰ ῥέοντα. καὶ φάρμακα τοῖς τραύμασι προσάγεσθαι θάλποντα ὀδύνας πραΰνοντα καὶ τὴν σάρκα ἀναστομοῦντα. τὸ μὲν οὖν θερμὸν ὕδωρ ταῖς ἄλλαις φλεγμοναῖς ἐπιτήδειον· ἴστε ναι χρὴ πολεμιώτατον εἶναι τούτοις. καὶ κάλλιον καὶ καλαϊκὸν ἔλαιον λεπτομερὲς μηδὲν ἔχον στύψεως. τῶν δὲ φαρμάκων ἐπιτήδειος ἐστὶ ῥητίνη. ἢ τερμινθίνη. καθ᾽ ἑαυτὴν ἐπὶ παίδων καὶ γυναικῶν. καὶ τῶν ἁπαλοσάρκων. μετ᾽ εὐφορβίου ἢ ἐπὶ τῶν ἄλλων. καὶ πρόπολις ἢ καθ᾽ ἑαυτήν τε καὶ μετ᾽ εὐφορβίου μαλαττομένη. κἂν πολὺ σκληρότερα τύχοι. σὺν τινὶ τῶν λεπτομερῶν ἐλαίων. καὶ μετὰ καταπλάσματα δὲ αὐτοῖς ἐπὶ τῶν

Γρ. ἀκόλλητον ex paul.

φλεγμαινόντων καὶ σκιῤῥουμένων νεύρων, χρὴ ἐπιτιθ
κρίθινον ἄλευρον· κυάμινον· ἢ ὀρόβινον ἑψήσας
ἐν κονίᾳ στακτῇ ἢ ὀξυμέλιτι· καὶ κηρωτῇ χρῆσαι
τοιαύτῃ τοιαύτῃ· κηροῦ οὐγγίας ς· εὐφορβίου γρ α·
ἢ π θεῖς ἐρᾶς καὶ πρων ἀπὸ τῶν σκληροτέρων σω-
μάτων· ἐλαίου λ β γρ δ· ἁρμόττει δὲ καὶ τὸ βασιλικὸν
φάρμακον προσλαμβάνον νίτρου· ἢ ἀσβέστου· ἢ
εὐφορβίου· ἢ θείου ἀπύρου· ἢ ἀρκεῖ π δεῖ δραχμὰς καὶ πρου
εἰς μνᾶ τοῦ τε φαρμάκου ἐμβαλεῖν· τῶν εἰ-
ρημένων ποιεῖ γὰρ καλῶς πρὸς τοὺς νευροτρώ-
τους· καὶ μάλιστα τοὺς νενυγμένους· δυνατὸν γὰρ
κατάρχον μηδενὸς εὐποροῦντα πρόπολιν πρόσφα-
τον καὶ λιπαρὰν ἐπιτιθέναι κατὰ τοῦ τραύματος.
ἢ ζύμην τε καὶ μετὰ προπόλεως μίξας ἢ τιθύμα-
λου ὀπὸν τῇ ζύμῃ μίξας· τοῖς καταπλάσμασι τοῖς
διὰ ὀξυμέλιτος· καὶ στακτῆς κονίας· καὶ ἀλεύρου κυ-
άμων· ἢ πάλης ἀλφίτων, οὐ μόνον ἐπὶ τῶν φλεγμαι-
νόντων ἤδη· ἀλλὰ καὶ κατ᾽ ἀρχὰς εὐθέως κεχρῆσθαι
δεῖ· οὐδὲ μὴν νύττειν τὸ νεῦρον· ἀλλὰ σαφῆ τὸ μέτρον ζω-
θέντος διαιρεθέντος, καὶ τοῦ προκειμένου δέρματος
ὡς τέμνον φαίνεσθαι τὸ δέρμα· καὶ ὀρθῆ, οὐκέτι καὶ
σίον διηρημένων τῶν προειρημένων διὰ τοῦ εὐφορβίου
καὶ τῶν ἄλλων ὁμοίως δριμέων· οὐδενὶ χρήσῃ· γυ-
μνὸν γὰρ ὂν τὸ νεῦρον· οὐκ οἴσει τὴν δύναμιν αὐτῶν,
σφοδρὰν οὖσαν· τὴν τίτανον οὖν παραλήψῃ πεπλυ-
μένην πολλάκις ἐν ὥρᾳ θερινῇ· πλέονι τῷ ἐλαί-
ῳ δευσομένην· καλὸν δὲ καὶ τὸ διὰ πομφόλυγος.
καὶ τὸ διὰ μέλιτος ἐν ῥοδίνῳ πλέονι τακέν· δεῖ δὲ
μηδὲν τῆς τρώσεως ταύτης· αἰσθητικὸν γάρ ἐστι τὸ νεῦρον·
καὶ τὴν κρᾶσιν ψυχρόν· καὶ συνεχὲς τῷ ἐγκεφάλῳ τῇ

Τῶν ἀρχῶν· ἀλλ' οὐδὲ ἐλαίῳ καταιονᾶν προσή-
κει τὸ τοιοῦτον ἕλκος· ῥυποῦται γάρ· ἀποπλύνειν δὲ χρὴ
μόνον τοὺς ἰχῶρας δεῖ· μαλακὸν οὖν ἔριον ὑπαλεί-
φοντα πρῶτον περιεκλείοντας· πάντων ἢ κατὰ γνώμην προ-
χωρούντων ἀκίνδυνον· γλυκεῖ δὲ διαβρέχειν· μετὰ
τὸ σκεπασθῆναι τὸ γεγυμνωμένον νεῦρον, τοῖς
μοτοῖς περιβάλλειν ἔξωθεν δέ τινι τῶν πρὸς τὰς
στενὰς βρώσεις ποιούντων· ἢ τῷ διὰ φορβίου· ἢ τὸ διὰ
κηροῦ τῶν περιστερῶν συμπεριλαμβάνοντα,
πολὺ τῶν ὑγιαινόντων μερῶν· τῆς βρώσεως δὲ ἐν καρδίᾳ
γινομένης, κίνδυνος τοῦ σπασθῆναι μείζων· τὰ
δὲ τῆς θεραπείας καὶ ἐπὶ ταύτας ὅμοια· δίαιτα δὲ
παραλαμβανέσθω λεπτοτέρα· καὶ ἡσυχία· καὶ
ἡ στρωμνὴ μαλακή· θερμῷ τε ἐλαίῳ πλείονι χρῆ-
σθαι κατὰ μασχαλῶν καὶ κεφαλῆς· καὶ θλάσεως
δὲ γινομένης τῶν νεύρων, ἐὰν μὲν ἅμα τῷ δέρμα-
τι θλασθέντι καὶ ἕλκωσις γένηται, τὸ διὰ τῶν κυ-
μίνων ἀλεύρων καὶ ὀξυμέλιτος ἐπιτήδειον κα-
τάπλασμα· τῆς θλάσεως δὲ δηκτικῆς συνούσης· πίτυς
ὑγρᾶς μιγνύειν· ἐὰν δὲ χωρὶς τοῦ θλασθῆναι τὸ δέρ-
μα γένηται διαφορεῖται καταντλεῖν ἐλαίῳ θερμῷ
συνεχῶς· τοῦ ναρκώδη κατεπείγοντος· κίνδυνος μὲν,
οὐδεὶς ἕπεται· τὸ μόριον δὲ ἀνάπηρον γενήσεται· θε-
ραπεία δ' ὁμοία παραληφθήσεται τοῖς ἄλλοις ἕλκεσι:
Τηκτὸν φάρμακον πρὸς νυγέντα νεῦρα· ποιεῖ
δὲ καὶ πρὸς λυσσοδήκτους· ὄξους ξε α'· πίσσης κϛ
λιπαρᾶς λι α'· ὀποπάνακος 𐅻 γ'· τὸν ὀποπάνακα
λύσας ὄξει, ἐπὶ πλεῖον λειοῦ· καὶ τὴν πίσσαν
τήξας, καὶ μίξας, ἔστω τὸ φάρμακον· τοῖς νε-
νυγμένοις νεύροις ἐπιτήδειον ἐστίν· οὐ συγχωροῦ-

μύσαι τὸ στόμιον τοῦ νύγματος, ὥσπερ οὐδὲ τῶν λυσσοδήκτων συνουλωθῆναι τὸ ἕλκος· ποιεῖ δὲ ἐπὶ μόνων τῶν σκληρῶν σωμάτων· ἐπὶ δὲ παιδίου νέου ὄντος ἢ γυναικὸς ἢ ἁπλοσάρκου, χρὴ σκέψασθαι βουληθεὶκας αὐτῷ, ἔνεστί σοι τέγγειν αὐτὸ διά τινος τῶν διαφορητικῶν ἀμαρακίνου ἢ ὀποβαλσάμου ἢ ἐλαίου παλαιοῦ: — πρὸς ἄρθρα κεχαλασμένα: —

κγ Ἀκακίας χυλὸν ἀνεθεὶς ὕδατι καταντλούμενα ἢ βάτου ἢ μυρσίνης ἢ σιδίων σὺν κηρωτῇ μυρσίνῃ ἐπιτιθέμενα: — περὶ φλεγμονῆς: —

κδ Ἡ μὲν ἀρχὴ τῆς φλεγμονῆς καθ' ὃν χρόνον πληροῦται τὸ μόριον αἱματώδους οὐσίας· ἡ δὲ αὔξησις ἕως ἂν τὸ ἐπιρρέον παύσηται· τὸ δὲ ἐν τῷ μορίῳ περιεχόμενον ἀρχὴν λαμβάνει τοῦ σήπεσθαι· καὶ θέρμη παρὰ φύσιν ἢ χύσις καὶ πνεῦμα γεννᾶται· καὶ τάσις τοῦ μορίου πλείων ἢ πρόσθεν· καὶ διὰ κίνημα τοῦ πύου μεταξὺ ἤδη συνισταμένου· μεγίστων δὲ γινομένων τῶν πόνων. παρακμὴ δὲ ἡνίκα διαφορούμενον τὸ ῥεῦμα τόν τε ὄγκον ἐλαττώσει· τῇ ἀποκρουστικῇ δυνάμει χρησόμεθα κατὰ ταύτην· ἐν δὲ ταῖς αὐξήσεσι ταύτην μὲν ἐλαττοῦν· προστιθέναι δὲ τοῖς διαφορητικοῖς· ὁμοίως δὲ οὔσης σφοδρᾶς χρεία τῆς παρηγορητικῆς δυνάμεως· ἐν δὲ ταῖς παρακμαῖς τῇ διαφορητικῇ μόνῃ χρησόμεθα· μηδενὸς σύφοντος· περὶ πλεκομένων· ἐλξίνη πρὸς τὰς φλεγμονὰς ἁρμόττει ἐν ἀρχῇ τε καὶ ἀναβάσει· γλαύκιον ὁμοίως· ἀνδράφαξις καὶ μαλάχη ταῖς μὲν ἀρχομέναις καὶ αὐξανομέναις· καὶ οἷον ζεούσαις αἱ κηπευόμεναι· ταῖς δὲ παρακμαζούσαις καὶ σκληρυνομέναις· καὶ ἀποψυχομέναις. αἱ

ἄγριαι συμφερώτεραι θρίδακες καὶ κολοκύνθη
πρὸς τὰς θερμὰς ἐπιπλαττόμεναι ποιοῦσι· καὶ
ἀείζωον πρὸς τὰς ἐκ ῥεύματος φλεγμονάς· καὶ τρί-
βολοι ἀμφότεροι· ὁμοίως καὶ κράμβη πρὸς τὰς
σκληρουμένας:— Περὶ ῥευματικῆς διαθέσεως

Ἐπειδὰν ἐξαίφνης φλεγμαίνῃ τι μόριον ἄνευ τοῦ κε
προηγήσασθαι φανερὰν αἰτίαν· τὸ μὲν ποιοῦν αὐτὸ
πάθος ῥεῦμα καλεῖται· ῥευματικὴ δὲ διάθεσις
τὸ πάθος· καὶ χρὴ μάλιστα τῶν τοιούτων φλεγμονῶν
τὰς ἀρχὰς τῶν ἰάσεων εἶναι χρηστάς· κενοῦν τοίνυν
χρὴ παντὸς σώματος ταῖς ἐνδεχομέναις κενώσεσιν· αὐ-
τὸ δὲ τὸ φλεγμαῖνον ἐπιβρέχειν τε καὶ καταπλάσ-
σειν μὴ τοῖς θερμαίνουσιν καὶ ὑγραίνουσιν· ἀλλὰ τοῖς
ἀπωθεῖσθαι μὲν τὸ ἐπιρρέον δυναμένοις· τὸ δὲ ἤ-
δη περιεχόμενον ἐν τῷ πεπονθότι κενοῦν· τόνον δὲ
καὶ ῥώμην ἐντιθέναι τοῖς πεπονθόσι μορίοις· κα-
ταπλάττειν οὖν τὸ ἀείζωον καὶ λεμμάτων ῥοιᾶς
ἑφθῶν ἐν οἴνῳ καὶ ῥοῦ καὶ ἀλφίτων συνεψημένων· ὀ-
δύνης μὲν σφοδρᾶς οὐκ οὔσης τούτοις τε καὶ τοῖς τοιού-
τοις χρηστέον, σὺν ὀδύνῃ δὲ μείζονι τοῦ μορίου ῥευμα-
τισθέντος, μηδ' οὕτως μὲν ὕδωρ θερμὸν ἢ ἔλαιον προσ-
φέρειν· ἢ τὰ διὰ τῶν ἀλεύρων καταπλάσματα· πο-
λέμια γὰρ ταῦτα ταῖς ῥευματικαῖς διαθέσεσι· παρα-
μυθεῖσθαι δὲ τὸ σφοδρὸν τῆς ὀδύνης τὸ διὰ λευκοῦ ῥο-
δίνου καὶ κηροῦ βραχέος· ἐρίοις ῥυπαροῖς ὕσσωπ(ον)
πολὺν ἔχουσιν ἀναλαμβάνοντα καὶ προσφέροντα·
θέρους μὲν ψυχρά· χειμῶνος δὲ χλιαρὰ παραλαμβά-
νοντα· καὶ τοὺς ἀνωτέρω τόπους τῶν πεπονθότων μο-
ρίων· σπόγγῳ βραχέντι οἴνῳ αὐστηρῷ· ἢ ὀξυκράτῳ ψυχρῷ·
παραλλαγῆς δὲ ἐπὶ τούτοις γινομένης· καὶ πόνου μὲν

ἀποπίπλουτος τῷ διὰ χαλκίτεως ἐμπλαστῷ φαρμά-
κῳ θεραπεύειν· ἤ τινι τῶν ὁμοίων τῶν πρὸς τὰ ῥεύματα
ποιούντων· καθαροῦ ἢ ἐρίου οἴνῳ βεβρεγμένου αὐστηρῷ
ἔξωθεν ἐπιβάλλοντος τοῦ φαρμάκου· τούτῳ μὲν οὖν τῷ ἰάσει
τὰς ζόπῳ τὰς ἐπὶ ῥεύματι φλεγμονάς· τὰς δὲ ἐπὶ τινι προ-
φάσει τοιῷ ἱσαμένας, ὑγραίνων καὶ θερμαίνων οὐ βλα-
πτεις· εἰς ἐκποίησιν ἢ αὐτὰς ἄγειν βουλόμενος· καὶ ἀλεύ-
ρῳ πυρίνῳ καταπλάσσων ἑφθῷ ἐν ὑδρελαίῳ· καὶ εἴ πο-
τε χρεία γένηται ἀποχαλᾶν αὐτὰς δεόντως τοῦτο ποιήσεις
τὰς ἐπὶ ῥεύματος φλεγμονὰς ἀποχαλάσθω· καὶ μάλι-
στ' ἐν ἀρχαῖς αἴτιος κακοῦ τινος μεγάλου γένοιτ' ἐκ-
πυηθέντων.

περὶ τῶν τραυματικαῖς διαθέσεσιν ἐκπυηθέν-
των.

κϛ Τραυματικῆς οὔσης τῆς διαθέσεως· καὶ ἐμμέ-
νοντος τῶν προδήλων αἰτίων οὐδενός· καταπλαττέον
μὲν ἀναγκαῖον ἅπαξ ἢ δίς που· καὶ ἀμέλει τὰ ἀπὸ ἄρ-
του τῶν κριθῶν· παραπλέκειν δὲ ὁμοῦ τι τούτοις,
ὄξους ἢ οἴνου· θέλοντα ἢ καὶ κενώσαντα τὸ πῦον φυ-
λάσσεσθαι μὲν τὸ λοιπὸν προσφέρειν ἔλαιον ἢ ὕ-
δωρ· ἀλλὰ καὶ ἀπονίπτειν πῶ ποτε δέοι τὸ τραῦμα με-
λικράτῳ τε καὶ ὀξυκράτῳ τε· καὶ οἴνῳ καὶ οἰνομέλιτι
χρηστέον· καὶ εἰ μὲν ἔτι φλεγμαίνοι, τὸ διὰ τῆς φακῆς
κατάπλασμα· μὴ φλεγμαίνοντος δὲ τῶν ἄλλων τι
φαρμάκων τῶν ἐμπλαστῶν ἐπὶ ταῖς τοιαύταις τοῖς μὲν
χρώμεθα· καὶ οὐχ ἥκιστα τῷ διὰ χαλκίτεως· ἐπι-
τιθεὶς ἢ κατ' αὐτῶν σπόγγιον ἢ ἔριον οἴνῳ βρέχων στρυ-
φνῷ· τῷ δὲ τραύματι μηδὲν τῶν λιπαινόντων φαρμά-
κων προσφέρειν· οἷόν τό τε φάρμακόν ἐστιν· ἀκριβῶς
γὰρ δεῖ ταῖς ξηραίνεσθαι.

ἐκ τῶν Γαληνοῦ· περὶ γαγγραίνης καὶ σφακέλου.

Γαγγραίνας τὰς διὰ μέγεθος φλεγμονῆς νεκρώσεις κζ
ὀνομάζουσιν, οὐκ ἤδη γεγενημένας· ἀλλὰ γινομένας
ἔτι· καὶ χρὴ ταχέως τὴν τοιαύτην διάθεσιν ἰᾶσθαι· τοῖς νε-
κροῦται ταχέως τὸ παθὸν οὕτως μόριον· ἐπιλαμβά-
νεται τὰ συνεχῆ· καὶ ἀποκτείνει τὸν ἄνθρωπον· ὅταν ἤδη τελέ-
ως ἀναίσθητα γένηται τὰ οὕτω παθόντα σώματα· τὸ πά-
θος οὐκέτι γάγγραινα ἀλλ᾽ ἤδη σφάκελος ὀνομάζεται·
συμβαίνει δὲ τοῦτο τὸ πάθος καὶ τοῖς ὀστέοις· ὅταν ἡ περι-
κειμένη σὰρξ αὐτοῖς μοχθηροὺς ἰχῶρας γεννῶσα· διαβρέ-
ξῃ τούτοις αὐτά· καὶ διασήπῃ, τελέως μὲν οὖν νεκρω-
θὲν τὸ μόριον, τάχιστα χρὴ περικόπτειν, καθάπται
ἐν τοῖς τοῦ πλησιάζοντος ὑγιοῦς· τὴν δὲ γάγγραιναν θε-
ραπεύειν χρὴ κενοῦντα ὅσον πλεῖστον τοῦ δυνατοῦ τὸ πάσ-
χον μόριον αἵματος· ἢ γὰρ φλεβοτομοῦντας κενῶσαι
δεῖ τὸ ἐφθαρμένον αἷμα, ὅταν περὶ αὐτὸ τὸ μόριον φλὲψ
μεγάλη ᾖ· ἢ ὅλον τὸ δέρμα διαιροῦντα πολλαῖς καὶ
βαθείαις ἀμυχαῖς· καὶ ἐάσαντες ἀπορρυῆναι τὸ αἷ-
μα· τῶν φαρμάκων ἐπιτιθέναι χρὴ τῶν πρὸς τὰ
σηπόμενα χρησίμων· ἔστι δὲ ταῦτα δι᾽ ὀξυμέλιτος ἄλευ-
ρον ὀρόβων· ἢ αἰρῶν· ἢ τὸ κυάμων προστιθέναι ἢ σφο-
δρότερον βουλόμενος ἁλῶν ἐπεμβάλλειν· ἢ τρο-
χίσκον τοῦ Ἄνδρωνος· ἢ τινὰ τῶν ὁμοίων ποιεῖ πρὸς
γαγγραίνας καὶ παλαιὰ κάρυα λεῖα ἐλαιώδη· ἀνα-
καθαίρει δὲ αὐτὰ ἀναλείφων· καὶ ὁ πὸς τιθυμάλλου σὺν
κηρωτῇ καὶ μέτρῳ προσαγόμενος· ὠφελεῖ δὲ αὐτοὺς
καὶ θερμῶν πηγῶν ἀφεψήματα, καὶ αὐτὰ λουόμενα:—

περὶ ἀποστημάτων:—

Ἐπὶ τῶν ἀποστημάτων ἐὰν μὴ δυνατόν σοι φαίνοιτο κη
τὸ κωλῦσαι τὴν ἐκπύησιν· ἄρτον ἔχει τὰς σὺν στρε-
λτίω καταπλάσσε· ἢ κρίθινον ἄλευρον παραπλη-
σίως

σκευαζόμενον· καταντλείσθω δὲ ὕδατι τὸ μόριον ἀλθαίας
ῥίζης ἐναφεψηθείσης· ὅτε δ' ἢ δυσεκπύητος ἢ δυσδια-
φόρητος ὁ ὄγκος τὸ διὰ τῶν ἰσχάδων κατάπλασμα χρηστέον·
δεῖ δ' ἢ γλυκείας ἢ ῥυπαρὰς ἑψοῦντας καταπηκτέον τῷ ὕ-
δατι· καὶ ποιεῖν ὅμοιον τὸ ὕδωρ μέλιτι λεπτῷ· καὶ προσ-
λαμβάνοντα βάλλειν κρίθινον ἄλευρον· καὶ εἰ διαφορεῖ-
ται μὲν ὁ ὄγκος· ἐνδεέστερον δὲ τοῖς ἰσχάσι συνεψεῖν ὕσσω-
πον ἢ ὀρίγανον· εἰ δὲ πύειν αὐτὸ βουληθείης μᾶλλον ἅ-
λας ἐπεμβαλεῖν τῷ ἀφεψήματι· πρόσεχε δὲ ἀκρι-
βῶς μὴ διὰ τὸ ξηραίνεσθαι σφοδρότερον, σκιρρωθὲν
γένηται τὸ μόριον· κἂν ποτε τι τοιοῦτον θεάσῃ συναφε-
ψεῖν τῷ ὕδατι σικύου ἀγρίου ῥίζαν ἢ ἀλθαίας· ἢ βρυω-
νίας· ἰσχυροτέρα γὰρ τούτων ἡ δραστικὴ καὶ διαφορητικω-
τέρα ἐστίν· ἐνίοτε μὲν οὖν τοῦτο μόνον ἀφέψοντα· ἐνίοτε
δὲ καὶ ἰσχάδων ἐμβαλεῖς· καὶ τὸ ἄλευρον ἀναμιγνύ-
εις ἅμα στέατι· διαφορεῖ δὲ καὶ ἀδιώατον ἀπὸ σκηνῆς
καὶ τὸ ἀνήθινον ἢ ἔλαιον διαφορητικόν ἐστι· καὶ πε-
χυμὸν πλινὸν ὠμόν· καὶ ἀπέπτων ὄντων· πιτασίῳ πέπτει
τοὺς σκληροὺς καὶ ἀπέπτους ὄγκους ἅπαντας· ἐμβα-
λλομένη τοῖς καταπλάσμασι· καὶ μᾶλλον ἡ ὑγρὰ φάρ-
μακον σιώθελον· τὰ μὲν ἤδη πεπεμμένα τῶν ἀποστη-
μάτων ἀπόνως ἐξωθοῦσα ὡς πολλάκις ἀρκεῖσθαι
ἐπὶ τοῦ σπληνίου τὸ πῦον· τὰ δὲ μὴ ~~πεπεμμένα~~ ἰσχυρῶς δι-
αφορεῖ· θείου ἀπύρου ℥ ιβ· ἀμμωνιακοῦ λίθου ἴσον· κυ-
αμίνου ἀλεύρου ℥ ϛ· ἀναλάμβανε ῥητίνῃ ὑγρᾷ καὶ
εἰς δέρμα ἐπιπλάσας, ἐπιτίθει· τὸ δὲ σπληνίον μὴ
ἀφαιρεῖ· μέχρις ἂν αὐτόματον ἀποπέσῃ· δεῖ δὲ μὴ πρὸ
πολλοῦ σκευάζειν τὸ φάρμακον· ξηραίνεται γὰρ ταχέως:—

## κθ´ περὶ χοιράδων καὶ φυμάτων.

Θέρμων πικρῶν ἄλευρον· οὐ τὰ πελιδνὰ μόνον· ἀλλὰ

καὶ τοὺς

καὶ χοιράδας καὶ φύματα θεραπεύει· ὀξὺ δὲ ἀντ' αὐτοῦ
χρῆ· ἢ ὀξυμέλιτι· ἢ ὀξυκράτῳ· ἰατρός τις ἐπὶ σκλη-
ρῶν σωμάτων ἐχρῆτο βοτάνῃ πρασίου σὺν ὄξει πρὸς χοιράδας· καὶ
τοὺς σκιρρώδεις ὄγκους ἅπαντας καταπλάττων· διαφο-
ρεῖ τὰ φύματα καταπλασσόμενα λίαν, ἀψίνθιον· ἀτρά- ἀσύνθετον
φαξ· ἐλξίνη· ἀλθαίας ῥίζα οἴνῳ ἑψηθεῖσα· ἀμμωνια-
κὸν μετὰ μέλιτος μαλαχθὲν καὶ ἐπιτεθέν· ἰξὸς σὺν ῥη-
τίνῃ καὶ κηρωτῇ· ῥύεται τὰ φύματα· θέρμοι πικροί· πρό-
πολις μετ' ὄξους καταπλασθέντα· σικύου ἀγρίου ῥίζα
ἀναληφθεῖσα τερμινθίνῃ· καὶ παρ' ἑ ῥίζα ὁμοίως· νί-
τρον μετὰ ζύμης ἢ σύκων· τὰς δ' ἔντος ἀποστάσεις ῥύεται θά-
λασσα μετὰ μελικράτου ποθεῖσα· χοιράδας διαφορεῖ
ἄσβεστος μετὰ στέατος γλοιῷ ἀναληφθεῖσα· ἢ ἐλαίῳ· ἢ στέα-
τι χοιρείῳ· αἴρινον ἄλευρον· μετὰ περιστερᾶς κόπρου καὶ
λινοσπέρμου· ἐν οἴνῳ ἑψηθέν· ὄλυνθοι ἄγριοι καὶ ἥμεροι
ἑφθοὶ λεῖοι καταπλασσόμενοι· καὶ πάντων συστροφὰς
διαφοροῦσιν· — Περὶ συρίγγων· — λ'

Σπονδυλίου ἡ ῥίζα περιξεομένη καὶ ἐντιθεμένη σύριγγι
τύλους ἀφαιρεῖ· καὶ ἐλλέβορος μέλας ἐντιθέμενος ἐν
δυσὶ καὶ τρισὶν ἡμέραις ἀφίστησι τὸν τύλον· σμύρνης
καὶ ἰοῦ ... ἀμμωνιακοῦ ... κολλύρια ποιηθέντα
ταῖς σύριγξι μετ' ὄξους· ἢ ὕδατος ἀμόργη ἑψημένη· καὶ
ἐγκλυζομένη· σῶρυ ὠμόν· ἢ κεκαυμένον μετ' ὀλίγου κραμ-
ματος· καὶ μέλιτος· ἐγκλυζόμενον· καὶ χυλὸς ὀμφακίου
ἐγκλυζόμενον· — Περὶ βουβώνων· — λα'

Ὅταν βουβῶνες ἐπαναστῶσιν· ἐὰν μὲν πληθωρικὸν ᾖ καὶ κα-
κόχυμον τὸ πᾶν σῶμα, δύσκολος ἡ θεραπεία· παρα-
λη πλέον ὅμως ἐπὶ ῥευματικῶν διαθέσεων γινομένων·
εἰ δὲ ὑγιεινὸν ἀκριβῶς, εὔκολος· θερμαίνειν χρὴ καὶ ὑγραί-
νειν ὅλον τὸ σκέλος· ἵνα ἀνώδυνον γένηται· καὶ ἐπιτιθέναι

Τῶν ἑλκωτῆς τε διὰ φαρμάκου θερμῆς ἐμμότῳ λουομέ-
ροδίνῳ· ἢ τινὶ τῶν χαλαστικῶν ἐλαίων· περιελίττειν χρὴ
ὅλον τὸ κῶλον πιλήματι ἐλαίῳ βεβρεγμένῳ ἔξωθεν τῶν
κατὰ πλάτειν τὸ ἕλκος καταπλασμάτων θερμῶν, μὴ με-
θ' ἁλῶν ὥς τινες ποιοῦσιν· ὕστερον γὰρ τούτοις χρησόμεθα
τοῦ τε παντὸς κώλου παρηγορηθέντος· καὶ ἀνωδύνου γι-
νομένου τοῦ ἕλκους· ἐπὶ τούτοις μόνοις ὡς ἐπὶ τὸ πο-
λὺ τῶν ἀδένων ἡ φλεγμονὴ λύεται· πολλάκις δὲ καὶ μεί-
ζων γίνεται· καὶ ἐκπυΐσκεται· τῶν ἐξ οἰκείων παρηγορη-
τικῶν φαρμάκων ἀφίστασθαι, χρῆσθαι δὲ τοῖς διαφο-
ρητικοῖς, κατὰ βραχὺ μεταβαίνοντα τῶν διαφορούν-
των ἔστι ταῖς συστάσεσιν ὑγρά· ὅσα τοῖς ἐμμότοις ἐστίν, ὅ-
μοια κηρωτοειδῆ· φεύγειν γὰρ ἐπὶ τούτων δεῖ τὰς σκληρὰς
ἐμπλάστρους· στεγνοῦσι γὰρ τὰ μόρια· καὶ αὖθις φλεγ-
μαίνειν ἀναγκάζουσιν· κἂν ἱκανὸν δὲ ἦ πῦον κατὰ τὸ δια-
πυηθὲν μόριον οὐ χρὴ διαιρεῖν εὐθὺς ὥς τινες ποιοῦσιν.
ἀλλ' ἐπιχειρεῖν διαφορεῖν φαρμάκοις· διαφορεῖ δὲ πά-
ντος ταχέως τὸ νότιον κατὰ τῶν βουβώνων ἐπιτιθέμενον.
τοὺς ἐξ οἰκείων ἐπὶ προσκόμμασι καὶ ἑλκυδρίοις· βουβῶνας.
καὶ πυρετοὺς ἀκινδύνους νομιστέον· κακοὺς δὲ τοὺς ἄλλους.
καὶ μάλιστα τοὺς ἐπὶ πυρετοῖς γινομένους·

περὶ ἐρυσιπέλατος.

λβ Ταχὺς καὶ δριμὺς χυμὸς ἐπιρρεύσας ἐργάζεται τὸ ἐρυσί-
πελας· ὅτι μὲν χωρὶς ἕλκους θεραπεύειν αὐτόν, χολα-
γωγῷ πρότερον χρωμένους καθαρτηρίῳ· ἔπειθ' οὕτως ἀ-
ποκρουομένους τὸ ἐπιρρέον διὰ τῶν τυχόντων· δεῖ
δὲ μεταβαίνειν ἀπὸ τῶν τυχόντων, ἐπὶ τὰ διαφοροῦντα,
πρὶν πελιδνὸν ἢ μέλαν γενέσθαι τὸ μόριον χρήζει
δὲ τὰ ἐρυσιπέλατα τυχόντων ψυχρότητος ἀνασύστατ.
οἷά ἐστιν ἀείζωον· καὶ ἀνδράχνη· καὶ ψύλλιον· ὅτε ἀπὸ τῶν

τήματα τῶν φακῶν· καὶ κοτυληδών· στρύχνος τε καὶ ὑοσκύαμος· καὶ θριδακίνη καὶ γλύκιον· αἵ τε δι' ὕδατος πάνυ ψυχραὶ κηρωταί· μίγνυται δὲ καὶ ὀπίου τι τούτοις· καὶ χυλοῦ μήκωνος· καὶ κωνείου καὶ μανδραγόρου· γίνεται συνθετὰ φάρμακα· ψύχουσα κηρωτή· τήξαντας ἐλαίῳ κηρὸν ὡς ἔνι μάλιστα καθαρόν, ποιεῖν χρὴ κηρωτὴν ὑγράν· καὶ ψύξαντας ἐν θυίᾳ καταντλεῖν ταῖς χερσὶν ὕδωρ ψυχρόν παραχέοντας· ὅσον ἂν ἡ κηρωτὴ καταδέξασθαι δύνηται· κάλλιον δ' εἶναι ἔλαιον ῥόδινον ἐξ ὀμφακίνου χωρὶς ἁλῶν· καὶ διπλάσιον εἶναι τοῦ κηροῦ τὸ ῥόδινον· εἰ δὲ καὶ ὄξους βραχύ τι σμῖξαι βουληθείης λεπτοῦ καὶ διαυγοῦς· ἔτι δὴ μᾶλλον ὑγρὸν καὶ ψυχρὸν ἀποτελέσεις τὸ φάρμακον· τοῦτο δ' ἐπιτήδειον ἐστὶν οὐ μόνον τοῖς ἐρυσιπέλασιν, ἀλλὰ καὶ τοῖς ἑκτικοῖς πυρετοῖς· καὶ φλεγμοναῖς ταῖς ἐν αἰδοίοις κατ' ἀρχάς· πρὶν νομώδη τινὰ διάθεσιν συστῆναι· καὶ ψύχουσι δὲ πόαι μετὰ ἀλφίτων λεπτῶν ἐμψύχουσιν ἱκανῶς καὶ φοίνικες ἢ λιπαροὶ τοῦ μὲν ὑμένος ὄντος αὐτοῖς ἐξαιρεθέντος δὲ ἔχουσι τὰ κεροὶ γεννηθέντες· εἶτα λειωθέντες αὐτοῖς καὶ ἐπιτιθέντες ξηρότεροι ἢ ἀφανοῖεν· κατὰ τὴν σύστασιν τῆς προειρημένης κηρωτῆς μιχθέντες· παυομένης δὲ τῆς φλεγμονῆς πρὶν πελιδνὸν γενέσθαι τὸ μόριον καταπλαστέον διὰ τῆς λύσεως· εἰ δὲ καὶ φθάσειε γενέσθαι πελιδνόν, ἀποσχάζοντα καταπλαστέον, οὕτως καταντλεῖν δι' ὕδατος θερμοῦ γλυκέος· ἄνιοι τε ἢ θαλάττῃ ἢ ἅλμῃ· καί ποτε καὶ ὦν καταπλάσματι μιγνύναι τούτων·

## Περὶ ἕρπητος

Δριμὺς δ' ἐστὶ χυμὸς ὁ καὶ τὸν ἕρπητα ποιῶν· ἀλλ' ἐὰν ἄμικ- λγ'
τος ἡ χολὴ συρρέουσα τύχῃ· τῆς σφοδρᾶς δριμύτητι τὸν
ἐσθιόμενον ἕρπητα συνίστησι μετὰ ἀναβρώσεως τὸ συνεχές

Τοῦ δέρματος ἐπιλαμβάνουσα· διὸ καὶ ἕρπης ὠνόμασται
τὸ πάθος. ἐὰν δὲ φλέγματι συμμιχθῇ τὸ μέτρον ἕρ-
πητα τὸν ἐπονομαζόμενον οὐ κεγχρίαν ἀποτελεῖ· κέγχροις
ὁμοίας ἐξοχὰς κατὰ τὸ δέρμα ποιοῦντα. ὅθεν οὖν
καθαίρων πᾶν τὸ σῶμα πρότερον, εἶτα ἐφεξῆς προσά-
γων τὰ ἀποκρουστικὰ τοῖς πεπονθόσι μορίοις. οὕτως
ἢ ἕρπητα ἰάσῃ τὸν ἕρπητα προσηκόντως. ὁ δ' εὐθὺς τοῖς ἐπου-
λοῦσι τὴν ἡλκωμένην ἐπιδερματίδα χρώμενος, ταύ-
την μὲν ἰάσῃ· τὴν δὲ ἐφεξῆς οὐ κωλύει διάθεσιν ἔχουσαν
ὁμοίαν τῇ προτέρᾳ. κενώσωμεν οὖν τὸ σῶμα ὡς ἐν τοῖς
ἐρυσιπέλασιν ὁμοίως. τοῖς δὲ πεπονθόσι τόποις οὐ κα-
τὰ πάντα πράξομεν. ψύχεσθαι μὲν γὰρ δέονται παραπλη-
σίως τοῖς ἐρυσιπέλασιν ὁμοίως· οὐκέτι γὰρ καὶ ὑγραί-
νουσι φέρουσι κατάλληλα αὐτοῖς τὰ ψύχοντα καὶ
ξηραίνοντα. μὴ τοίνυν θριδακίνην προσάγοι τις, μὴ
στέφανον τὸν ἐπὶ τῶν τελμάτων, μὴ τὰν δράχνην, ἢ ἀ-
είζωον, ἤ τι τῶν τοιούτων, τῶν τε ψυχόντων καὶ ὑγραινόντων.
ἀλλὰ κατ' ἀρχὰς μὲν ἕλικας ἀμπέλου καὶ βάτου, καὶ ἀρ-
νογλώσσου καταπλάττειν. ὕστερον ἢ φακῷ τούτοις μιγνύ-
ειν· καί ποτε καὶ μέλιτι καὶ ἀλφίτων καὶ τὸ προγεγραμ-
μένον, πρὸς τὰς ἀκράματων φλεγμονὰς καταπλάσ-
μασι χωρὶς τοῦ ἀειζώου. τὰ δ' ἡλκωμένα τοῖς φαρμά-
κοις ἐπιχρίειν πρὸς τοῖς ἕρπητα ποιοῦσι τροχίσκοις
λυομένοις γλυκεῖ, ἢ οἴνῳ λεπτῷ καὶ αὐστηρῷ μὲν παλαι-
ῷ, ἢ ὀξυκράτῳ ὑδαρεῖ, χρονίων ὄντων ἤδη τῶν τοιού-
των ἑλκῶν ἐπιτήδειος ὅ τε Μούσα καὶ ὁ Ἄνδρωνος τρο-
χίσκος. τὰ ἐπιπολῆς δὲ μόνον ἑλκοῦντος τοῦ ἕρ-
πητος, εἰ μὴ πάνυ χρόνιος τυγχάνει, μὴ καταχρίειν
μηδενὶ τούτων· ἰσχυρότερον γάρ ἐστι· καὶ ξηραίνει πλέον
ἢ δεῖ. προσφέρειν δὲ τοῖς τοιούτοις ἕρπησι, γλαυκίου τε

καὶ τὰ τούτοις παραπλήσια· μάλιστα μὲν ἀντὶ ἐν τοῖς ὕδα-
σι· μηδὲν διανύοντος ὄξους παραπλέκειν· καὶ χυλῷ
ἀρνογλώσσου· ἢ στρύχνου διὰ οἴνου, ὃν νῆστις οὐ μὴ κρατῶς·
λίνου σπέρμα φρύξας καὶ ἐν οἴνῳ καὶ ἐλαίῳ ἑψήσας·
καὶ λεάνας, ἐπιτίθει· ἢ τῶν κιμωλίαν· στρύχνου χυλῷ
δεύσας κατάχριε· ἢ λιθαργύρου ηο´· καὶ πράσου χυλοῦ
κοτύλης ἥμισυ· καὶ τεύτλου χυλοῦ τὸ ἴσον κατάχριε λε-
άνας·

Περὶ σκίρρων

Σκληρὸς οὕτως ἐστίν, ὥσπερ ὁ λίθος, ὁ σκίρρος· ἔστι δὲ καὶ χα´
ἀναίσθητος· καὶ ὅ γε τοιοῦτος ἀνίατος πάντα πᾶσιν· ὁ
δ᾽ ἔχων ἀμυδρὰν τινὰ αἴσθησιν ὑπὸ τῶν διαφερόντων
θεραπεύεται φαρμάκων· ἀλλὰ τὰ διαφοροῦντα καὶ
ἀθρόως κενοῦντα χωρὶς τοῦ μαλάττειν· ἐν γὰρ ταῖς πρώ-
ταις ἡμέραις φαίνεται συσταλὲν τὸν ὄγκον· τὸ δ᾽ ὑπόλοιπον
τῆς διαθέσεως ἀνίατον καθίσταται· παντὸς τοῦ λεπτο-
μεροῦς διαφορηθέντος· διὰ τοῦτο οὖν ἐπιτηδειότατα τῶν
φαρμάκων ἐστὶν ὅσα μετὰ τοῦ μαλάττειν, διαφορεῖν πέ-
φυκε· μαλακτικὰ μὲν οὖν ἐστιν· ἐλάφειον στέαρ καὶ
μυελός· καὶ ταύρειον· καὶ τράγειον· καὶ ἄρκτειον στέαρ· ἄρκτειον
ἀμμωνιακόν τε· καὶ βδέλλιον· καὶ στύραξ· καὶ τούτοις
χρησάμενοι μετὰ τὸ λυθῆναι τὴν σκληρότητα, δια-
φορητικὰ προσαξόμεθα· ὁποῖα ἐστὶ τηλίς· καὶ αἴγειος κό-
προς σὺν ὀξυκράτῳ· συντίθεται δὲ φάρμακα παρὰ
τῶν ἰατρῶν πρὸς ἀμφοτέρους τοὺς σκοποὺς ἁρμόττοντα·
τοῦ τε τῆς τοῦ σκίρρου διαλύσεως· καὶ τῶν τῆς διαφο-
ρήσεως· οἷόν ἐστι καὶ τὸ γαλλικὸν πτέρνης· χοιρείου πα-
λαιᾶς λίπους· ἀμμωνιακοῦ θυμιάματος· τυροῦ βοείου·
καὶ αἰγείου παλαιοῦ· στέατος ταυρείου· ἀποχύματος ηα´·
μυελοῦ ἐλαφείου γο β´· ὑσσώπου γο γ´· κυπρίνου γο ϛ´·
οἴνου αἰγυπτίου κοτύλης ἥμισυ· λέξομεν· ἢ καὶ ἐν τῷ

ἐννάτῳ περὶ τῶν ἐν ποδάγραις πώρων:—

### περὶ οἰδήματος:

λε Ῥεῦμα φλεγματῶδες τὸ οἴδημα γεννᾷ χαῦνον ὄγκον·
καὶ εἴκοντα· καὶ βοθρούμενον κατὰ τὰς ἐμπιέσεις τῶν
δακτύλων· ἔστι δὲ καὶ ἀνώδυνος· ἰᾶσθαι δὲ αὐτὸν χρὴ
σπόγγον ὀξυκράτῳ βρέχοντα· καὶ ἐπιτιθέναι μετ' ἐπι-
δέσεως ἠρέμα σφιγγούσης· ἐν ταῖς κατὰ μὲν ἀρχομέ-
νην ἡμερῶν· τελευτώσης δὲ σὺν ἐλαίῳ· καινὸν δὲ εἶναι χρὴ τὸν
σπόγγον· κἂν μὴ παρῇ τοιοῦτος· ἐκκαθαίρειν τὸν τοιοῦ-
τον νίτρῳ· καὶ μᾶλλον τῇ καλουμένῃ σχιστῇ κονίᾳ·
μὴ καθισταμένου δ' ἐπὶ τούτοις τοῦ οἰδήματος βραχύ τι
στυπτηρίας μιγνύειν· ἐπιτήδειον δὲ καὶ τὸ ἁπαλώτατον
ἐλλύχνιον ὑγρότητι τοιαύτῃ σαομένον καὶ ἐπιτιθέ-
μενον· καλὸν δὲ καὶ τὸ γλαύκιον· κεχρονικὸς δὲ οἴδημα
προυπαλείψας ἐλαίῳ τὸ μόριον· ἐπιτίθεις σπόγγον
ἐκκονίας· καὶ σφίγξας βιαιότερον θεραπεύσεις· ἰσά-
τις ἡ ἥμερος τοὺς οἰδηματώδεις ὄγκους θαυμαστῶς δια-
φορεῖ τε καὶ προσεπιλαμβάνει λιπαρὰ πᾶσα· καὶ γὰρ ἀλυπ-
τία:—

### περὶ τερμίνθου:

λς Εἶδος φύματος ἡ τέρμινθός ἐστιν· ἐπὶ κνήμαις τῷ ἕλκει
ἀνωτάτω φλυκταίνης μελαίνης· ἧς ἐκραγείσης τὸ
ὑποκάτω ὅμοιον ἀποσεσυρμένῳ ἐν τούτου δὲ τερεβινθόν-
τος, πύον ἀρίσκεσθαι:—

### περὶ ἐπινυκτίδος:

λζ Αἱ δὲ ἐπινυκτίδες, ἑλκύδρια ἐστὶν ἀπὸ ταὐτομάτου ἐξαν-
θοῦντα· φλυκταινώδη· ὑπέρυθρα· ὧν ῥηγνυμένων,
ἰχὼρ ὕφαιμος ἀπορρεῖ· ταῦτα μὲν ἡμέρας οὐ πάνυ
ἐνοχλεῖ· νύκτωρ δὲ ἐπώδυνα ἐστὶ μᾶλλον ἢ κατὰ
τὸ ἴχνος ὀπὸν σιλφίου ὑδαρῆ δὶς ἐπιτίθει· ξηραίνει
ἀναδήξεως· ἢ κώνειον λεάνας ἐπιτίθει:—

περὶ συνδέσμων τμηθέντων·

Σύνδεσμος, ὁ μὲν ἐξ ὀστοῦ ἥκων εἰς ὀστοῦν, ἀκινδυνότα- λη
τόν ἐστι· καὶ ξηραίνων αὐτὸν ὁποίοις βούλει φαρμάκοις,
οὐδὲν βλάψεις· ὁ δὲ εἰς μῦν ἐμφυόμενος ὅσον ἀκιν-
δυνότερός ἐστι τένοντος καὶ νεύρου, τοσοῦτον τῶν ἄλλων συν-
δέσμων σφαλερώτερος εἰ μὴ χρηστῶς θεραπεύηται:—

περὶ θύμου

Θύμος ἐστὶν ἔκφυσις ὑπὲρ σάρκωσιν τραχεῖα· καὶ ψαθυρὰ λθ
σαρκί· γίνεται δὲ ἐν τῇ ἕδρᾳ· καὶ ἐν αἰδοίοις· καὶ τὸ μὲν
εὐῆθες καὶ πολλάκις αὐτόματον ἀποπίπτον· τὸ δὲ
κακοηθέστερον, καὶ ὀδυνῶδες περιέχον· τινὰ ἤδη καὶ ἀνίατα
ἐστίν:—

περὶ σύκων·

Σῦκα νομίζουσι βλαστήματα ἑλκώδη στρογγύλα ὑπόσκλη- μ
ρα ἐνερευθῆ οἷς ἀκολουθεῖ· ἕπεται ὀδύνη· φύεται
ἢ ζῶντα τὸ πλεῖστον ἐν κεφαλῇ· καὶ τῷ ἄλλῳ σώμα-
τι· ἄριστον δ᾽ ἐπὶ τούτοις φάρμακόν ἐστι στυπτηρία σχιστή·
χαλκοῦ ἄνθος ὀπτόν· καὶ ταυροκόλλα μετὰ λεπίδος
χαλκοῦ διπλασίας· ῥίζων μετ᾽ ὄξους καταχρίειν· ἀγαθὸν
ἢ καὶ τῶν μαινίδων αἱ κεφαλαὶ κεκαυμέναι· καὶ βολ-
βοὶ ἑφθοί· καὶ τέφρα μετ᾽ ὄξους ὁμοῦ μεμιγμένη:—

πρὸς δοθιῆνας·

Ἐκ παχέων μὲν χυμῶν οἱ δοθιῆνες γίνονται· διαφοροῦ- μα
σι δ᾽ αὐτοὺς καὶ πέπτουσι κηροὶ μασώμενοι· καὶ ἐπι-
τιθέμενοι· καὶ μαστίχη δ᾽ αὐτοὺς ὀνίνησι καὶ αἰγυπτία·
σταφίδας δ᾽ ἐκγιγαρτισμένας τρίψον καὶ μίξας ἀλε-
ύρου ἴσον κατάπλασσε· τοῦτο ἢ διαχεῖ ἢ ῥήσσει· ἢ
ἀλθαίας ἑφθὰς ῥίζας καὶ ὕδωρ περιχέας, χρῶ·
ἢ τῆς ἰσχάδος μίξας ῥητίνῃ ἐπιτίθει:—

πρὸς ἐπινυκτίδας:

Σελίνου μετὰ ἀλφίτου τρίψας κατάπλασσε· κράμ- μβ
βης

φύλλα λεῖα τὰς ἐπιτίθει· ὑοσκυάμου φύλλα λεῖα τὰς
μετὰ μέλιτος ἐπιτίθει· στρύχνον καθ' ἑαυτὸν· καὶ μετὰ
κωνείου χλωροῦ· ἐλαίας φύλλοις ἑφθοῖς μεθ' ὕδατος
χρῶ· σταφίδας ἐκγεγιγαρτισμένας λείας μίξον. καὶ ἀπαλη-
νίω καταχρίων ἐπιτίθει· ἄσφαλτον λεῖα τὰς μετὰ μέλιτος.
φυλακτέον ἤτοι τῶν δριμέων καὶ ὀξέων· καὶ ἁλικῶν
προσφορὰν καὶ πυρίαν· καὶ λουτρὸν· καὶ ἥλιον.

πρὸς ἀκροχορδόνας· καὶ μυρμηκίας· καὶ τὰ ὅμοια.

μζ Διὰ μὲν τῶν σφοδρῶς ἑλκούντων φαρμάκων, ἥτε μυρμη-
κία· καὶ ἀκροχορδὼν ἀποσπασθήσεται· διὰ δὲ τῶν ἐκπον-
τῶν νεκρωθήσεται· ἥτε τοῦ φλοιοῦ κεκαυμένου ἡ τέφρα,
ἥλους καὶ τύλους· ἔτι ἡ μυρμηκία σὺν ὄξει ἐξαίρει, σὺν ὄξει
δριμεῖ διαθεῖσα· ὁμοίως καὶ τὸ μελάνθιον τὰ αὐτὰ
δύναται· ἥλους καὶ πτερύγια· καὶ ἡ τῶν προβάτων κό-
προς πρὸς ἀκροχορδόνας· καὶ μυρμηκίας· καὶ θύμους.
καὶ δοθιῆνας σκληρούς· ἐν ὄξει δευομένη· ὄλυνθοι ἑψη-
θέντες μὲν σκληροὺς ὄγκους διαφοροῦσιν· ὁμοίως καὶ
μυρμηκίας τε καὶ θύμους ἐκβάλλουσι· τά τε κονδυλώ-
ματα στέλλει· ἐλαίας ἄνθη μεθ' ὕδατος καταπλασσόμενα·
ἀλόη σὺν γλυκεῖ καταχριομένη· πενταφύλλου ῥί-
ζα καταπλασθεῖσα· κυδώνια ἑφθὰ σὺν ἄρτῳ· ἢ ἀλφί-
τῳ· μυρσίνης φύλλα κεκαυμένα σὺν κηρωτῇ· πρόπο-
λις προμαλασσομένη καὶ ἐπιτιθεμένη· αἴρει τὰ κον-
δυλώματα· καὶ τὰ σῦκα, ἀρσενικοῦ κατάπλασμα·
ἄσβεστος καὶ ὀξύξει ἀναληφθέντα· καὶ ὡς πλησίον
ἐπιτιθέμενα· τὰ ἐκ τοῦ μεγέθους σῦκα ἀποβάλ-
λει· ἰὸς σιδήρου σὺν οἴνῳ ἐπιχρισθεὶς γλυκεῖ· ἀνήθου
σπέρματος κεκαυμένου ἡ τέφρα καταπλασσομένη·
στυπτηρία ὑγρὰ· μετ' ὄξους καὶ οἴνου καὶ σχίνου· σῦκα
ἢ ἀφαιρεθεῖσαι καὶ τὰ προειρημένα θεραπεύει· καὶ

οὐκ ἐᾷ πλέον αὔξεσθαι· τέφρα κλήματος σὺν ὄξει καταπλασθεῖσα :—

πρὸς τὰ πτίλια μδ

μολίβδου σῶμα κοῖλον παχύτερον ὡς οἱ σπόνδυλοι μεῖζον τοῦ ταγηνίου ἐπιτίθεσθαι· τῷ βάρει τὸ διαλύει αὐτὰ ἐν χρόνῳ πλείονι :—

πρὸς χίμεθλα :— με

Θαλάσσῃ χλιαρᾷ καταντλεῖν· ἢ τεύτλου ἀφεψήματι· ἢ ῥαφανοῦ· ἢ ὀρόβου· ἢ ἀσφοδέλου ῥίζης· μετὰ δὲ τὸ καταντλῆσαι φακῷ ἑφθῷ ἐν οἴνῳ λείῳ κατάπλασσε· ἢ σῦκα λεῖα μετ' ἐλαίου χλιάνας ἐπιτίθει· ἢ στυπτηρίαν καὶ ἄλευρον· ἴσα ζέσας ἐν οἴνῳ κατάπλασσε :—

πρὸς τὰς τῶν δακτύλων ῥαγάδας· καὶ τῶν ὅλων ποδῶν :— μϛ

πίσσῃ ὑγρᾷ κατάχριε· καρκῖνον θαλάσσιον ἢ ποτάμιον καῦσαι ἐπάνω ἀνθράκων· ἀπόξεσον τὸ ὄστρακον· καὶ μετ' ἐλαίου τρίψας· καὶ παχὺ ὡς μέλι τὸ ποιήσας, προαποσμήξας τὰς ῥαγάδας ἔνσταζε· ποιεῖ δὲ καὶ σκίλλης τὸ ἐντὸς· ἐλαίῳ ζεσθέν· καὶ τερμινθίνῃ συλλειωθέν· καὶ ἡ ξηρὰ σταιτίτον καυθέν· καὶ ἀναληφθὲν στέατι αἰγείῳ· δεῖ δὲ πρότερον προκαθαίρειν τοὺς τύλους· καὶ οὕτω χρῆσθαι τοῖς φαρμάκοις :—

πρὸς αἰδοῖα ἡλκωμένα μζ

Καταντλεῖσθαι διὰ τῶν στυφόντων· ἢ σχίνου· οἷον βάτου· μυρσίνης· κυτίνων· ῥοιᾶς ἀγρίας· ἀγριελαίας ἀφεψήματι· τοῖς δὲ φύλλοις καὶ λείοις κατάπλασσε· ποιεῖ χρῖε δὲ καὶ λημνίᾳ σφραγῖδι· ἢ ἀλόῃ μετὰ μέλιτος· διατεθεῖσθαι πρὸς τὴν ὀσχέον σφοδρῶς κνησμώδη καὶ ἀκατάπαυτον· χοιρείου ζύμη κεκαυμένη δὲ ἐκ κηρύκων ἐπιβῆσαι· ἢ στυπτηρία ὑγρά :—

περὶ λάκκω·

μη Φλεγματικοῦ αἵματος καὶ γλίσχρου, ποιεῖ τὴν λεύκην· ὅ-
τε δὲ ἐπὶ χρόνῳ πλείονι τὴν χρόαν καὶ ἐπὶ τὸ λευκότερον
ἀλλοίωσιν. τῶν δὲ ἀλφῶν ἡ γένεσις, ὁμοίως μέν ἐστιν·
οὐ μὴν δι᾽ ὅλου τῆς σαρκὸς πεπονθυίας· ἀλλ᾽ ἐπιπολῆς
τοῦ δέρματος. καὶ ἐκ τοῦ φλεγματικοῦ χυμοῦ. τὴν λέπραν
δὲ ὁ γεννῶν χυμός, ἄχρι βάθους δίκει τῆς ψώρας
ἐπιπολαιοτέρας οὔσης. σαυτοῖνυν πεπλυμένην
κονύζαν ὀλεξηραμμένην· ἔχε· ὕδωρ μετὰ νίτρου τοσοῦ-
τον, ὡς πάχος γίνεσθαι σμῆγμα, ἐπίχριε σὺν θερα-
πείᾳ· ἐπὶ ἀλφοῦ ἐπίχριε ὑγροτέρῳ μᾶλλον· ἐ-
πὶ ψώρας δὲ παχυτέρῳ. παχυτάτῳ δὲ τὰς λέπρας, δρα-
κοντίου ῥίζα σὺν ὄξει καταπλασσομένη, ἀλφοὺς
ἰᾶται. καὶ ἐλλέβορος ἑκάτερος. θέρμων πικρῶν ἀφέ-
ψημα καταντλούμενον. καὶ τὸ ἄλευρον αὐτῶν κατα-
πλασσόμενον δι᾽ ὄξους ἢ ὀξυμέλιτος. καὶ καππάρεως
τῆς ῥίζης ὁ φλοιὸς σὺν ὄξει. κρίνου ῥίζα μετὰ μέλιτος.
κρόμμυον σὺν ὄξει καταχριόμενον ἐν ἡλίῳ. κροκοδεί-
λου χερσαίου κόπρος. ὁμοίως καὶ τῶν ψαρῶν ὅσοι ὀ-
ρύζαν μόνην ἐσθίουσιν. ἢ ὄστρακα σηπίας καυθέντα.
πρὸς δὲ ψώρας. σταφὶς ἀγρία ποιεῖ· ἐλλέβορος ἑκά-
τερος. θέρμοι πικροὶ ὡς εἴρηται. κάρδαμον μετ᾽ ὄξους.
κρίνου ῥίζα μετὰ μέλιτος. ῥητίνη τερμινθίνη. καὶ
θεῖον τοῦτο πυρὰν ἢ ἀλείφαμεν. ἐρέβινθοι. αἰγεία κό-
προς. κατὰ δὲ λέπρας ἀφίστησιν ἀνεμώνας προστιθέμε-
ναι. ἐλλέβορος. ἀμπέλου λευκῆς ῥίζαι.

## Περὶ λειχήνων

μθ Μιχθέντων ἰχώρων λεπτῶν καὶ δριμέων ἑτέροις παχυχύ-
μοις, οἱ λειχῆνες συνίστανται ῥᾳδίως εἰς ψώραν καὶ λέ-
πραν μεταπίπτοντες. διὸ τῶν ἰσχυρῶς ξηραινόντων οὐ-
δὲν δυναμένης. χρηστέον ἐπὶ τούτων φαρμάκοις παραλαμ-
βάνειν

δραστήρια μὲν ἱκανῶς· χωρὶς δὲ τοῦ δάκνειν σφοδρῶς, ὁ
πυρὸς ἐρέβινθοι ποιοῦσι πρὸς λειχῆνας· ἐλλέβορος ἐ-
κατ' ὄξος· κονία μετὰ τοῦ κόμμεως· ἐπὶ παιδίων λειχὴν ὁ
ἐπὶ πετρῶν· πίσσα μιγνυμένη κηρωτῇ· θεῖον μετὰ
ῥητίνης· τοῦτο πεῖραν ἔδωκε· σίελον νήστου ἐπὶ παιδίου.
δεῖ συνεχῶς τῷ δακτύλῳ μετὰ σιέλου τὸ πεπονθὸς
ἀποτρίβειν δέρμα· κροκοδείλου χερσαίου κόπρος· κη-
κὶς τῶν ὀστάρων· πρὸς δὲ τοὺς ἐπὶ γενείου προσφάτους λει-
χῆνας· ἢ ἄλλο μέρος τοῦ προσώπου, πυροὺς πολλοὺς
λαμβάνων ἐπὶ τινὸς ἄκμονος διάπυρον ἐπιτίθει·
καὶ τὸ ἀπορρέον ἐξ αὐτῶν ὑγρὸν ἔτι θερμὸν λαμβά-
νων ἐπίχριε τοὺς λειχῆνας· πολλοὶ τούτῳ μόνῳ ἐθερ-
άπευσαν· ἢ μαλάχης ἀγρίας τὸν καρπὸν ἁπαλόν, σὺν τῷ
πλῶν τὸν καρπόν, χυλὸν ἀποτίθει· καὶ τούτῳ συνεχῶς
ἐπίχριε· χρονιζόντων δὲ τῶν λειχήνων, χρῶ τοῖς ὑπο-
γεγραμμένοις, ἄγνου φύλλα ῥίζας· καὶ ὄξους ἐπιβα-
λὼν ὀλίγον καταπλάσσε· ἢ καππάρεως τὰ φύλλα
ῥίζας μετὰ ὄξους ἐπιτίθει:— Τροχίσκος πρὸς λει-
χῆνας. Κόλλης τεκτονικῆς ℥α· λιβάνου ℥β· ὄξους
κοτύλης ἡμίσου· ἐντίθει· σὺν ὄξει διαλύων ἐπίχριε:—

## Περὶ ἐμφυσήματος.

Πνεῦμα φυσῶδες παχὺ καὶ ἀτμῶδες, ὕλη τῶν ἐμφυ- ν'
σημάτων ἐστί· συνδρομὴ δ' ἤτοι μὴ διαπνεῖσθαι τὸ πνεῦ-
μα τῶν σωμάτων ἢ πύκνωσις· ὅθεν καὶ σκοπὸς τῆς
θεραπείας· ἀραίωσις μὲν τῶν πεπυκνωμένων· καὶ
λέπτυνσις τοῦ πεπαχυμένου πνεύματος· ἐκ τῆς τῶν
λεπτομερῶν φαρμάκων ἀγανακτεῖν συμβαίνει τοὺς μῦς·
καὶ τὰς ὀδύνας ἐπιτείνεσθαι· χρὴ τοίνυν μεμῖχθαι τοῖς
διαφορητικοῖς τὰ παρηγοροῦντα· κατ' ἀρχὰς μὲν πλεο-
νάζειν τὰ παρηγορητικά· μετὰ ταῦτα δὲ τὰ πυρακτικά

γινομένους διαφοροῦντα· εἶτ' ἤδη καὶ παρηγορητικὰ ἐπὶ
τῆς τοιαύτης διαθέσεως τιθεμένων· τὸ κατάντλημα καὶ ὕδω-
που μετ' ἐλαίου βραχέος· διαφορητικὰ δὲ ὄξος καὶ νί-
τρον· καὶ στακτὴ κονία· κατ' ἀρχὰς οὖν χρηστέον τῷ ἐπιθέ-
ματι μετ' ἐλαίου βραχέος καὶ οἴνου ὁμοίως· ἀναλαμ-
βάνοντα ὑσώπῳ τῇ ἐν τοῖς ἐρίοις θερμά· καὶ φροντίζειν
ὅπως ἂν ἡ θερμότης ποθουμένη τύχεσθαι ἀθρόου τὰ
μόρια· παρηγορηθέντα δὲ τοῦ κάμνοντος, παρα-
μιγνύναι τοῦ ὄξους· καὶ τοῦ νίτρου μετὰ ταῦτα· καὶ τῆς
κονίας στακτῆς· εἶθ' ὕστερον διαφορητικοῖς· ἐμπλάστροις
χρῆσθαι τοῖς ἀποκαλάσασιν· οἷόν ἐστι τὸ ὑποτεταγμένον·
γλοιὸν ἀποξέσας, ἢ θεῖον πρῶτον ὡς καθαρὸν γενέ-
σθαι· καὶ πάλιν ἐμβαλὼν τῇ κακάβῃ λεῖον ἄσ-
βεστον· τίτανον ὡς ἄλευρον ἐπίπαττε· μέχρι πη-
λώδους σύστασεως·

## πρὸς ἐλεφαντιῶντας·

να θαυμάσιόν ἐστι τοῖς ἐλεφαντιῶσι βοήθημα· ἡ τῶν ἐ-
χιδνῶν ἐδωδή· χρὴ δὲ ἐσθίειν ταύτας ὧδε κατασκευά-
ζοντας· πρῶτον ἀποκοπτομένης τῆς κεφαλῆς καὶ τῆς
οὐρᾶς ἄχρι δακτύλων τεσσάρων· εἶτα τῶν ἔνδον ἁπάν-
των ἐξαιρεθέντων· καὶ τοῦ δέρματος ἀφαιρεθέντος· τοῦ ὕδατί τε
σώματος αὐτῶν περιπλυθέντος ἐν λοπάδι ζωμὸς
ἐγχέλυσι παραπλησίως σκευάζοιτο δὲ ἁλακοῦ ζωμός·
γίνεται δὲ οὕτως· ὕδατος μὲν δακτύλους ἐπεμβληθέν-
τος ἐλαίου δὲ βραχέος· καὶ σὺν αὐτῷ πράσου καὶ ἀνή-
θου· πρόσεχε δὲ ὅτι μέχρι τοσούτου τὰς σάρκας τῶν
ἐχιδνῶν ἕψειν προσήκει· μέχρις ἂν γεννηθῶ-
σιν ἁπαλαί· καὶ αὐτὸ δὲ τὸ διὰ τούτων σκευαζόμενον φάρ-
μακον· ὃ καλοῦσι θηριακήν, ἐπιτήδειόν ἐστι πίνεσθαι
δαψιλῶς τοῖς οὕτω κάμνουσι· καὶ εἰ βούλοιτό τις

αὐτῶ καὶ τὸ δόγμα χρῆσθαι. ταῦτα γὰρ πάντα ποι-
ούντων ἔσθ' ὅτε λεῖπος ἀφίσταται
τοῦ δόγματος. ὁποῖον ἐπὶ
τῶν ὄφεων τῶν ἐκδυο-
μένων γῆρας.
χρώμε
θα
δὲ ἐπ' αὐτῶν, καὶ τοῖς ἄλλοις τῆς
θηριακῆς. καὶ τῇ καλαμίνθῃ. ἀ-
γαθὸν γὰρ καὶ τοῦτο μὴ μόνον γεν-
ναίως διαφο-
ροῦν τοὺς λεπ-
τοὺς χυμοὺς
ἀλλὰ καὶ
λεπτῦ-
νον
ἰσ-
χυρῶς καὶ τέμνον
τοὺς παχεῖς
Τέλος τοὺς γλυ- τοῦ ζ δ
τας
ἢ
γ
τὸ τοῦ ὄσημα. οὐ μὴν
ἁπλῶς ἐφεξῆς συντούτων
ἀρχόμενος προκαθαίρο-
μεν ἢ πάντως ἐ-
στὶν ὅτε καὶ
φλεβο
τομοῦ
λό με:— του

Τάδε ἔνεστιν ἐν τῷ ϛ΄ λόγῳ

α΄ Περὶ μνήμης ἀπωλείας· καὶ τῶν ἄλλων ἀγρυπνητικῶν
τε καὶ καταφορητικῶν. β΄ Περὶ ἐφιάλτου.
γ΄ Περὶ ἐπιληψίας. δ΄ Περὶ σκοτωματικῶν.
ε΄ Περὶ ἀποπληξίας. ϛ΄ Περὶ μανίας. ζ΄ Ἐρώντων
διάγνωσις, καὶ θεραπεία. η΄ Περὶ λυκανθρω-
πίας. θ΄ Περὶ φλεγμονῆς ἐγκεφάλου. ι΄ Περὶ
ἐρυσιπέλατος ἐν ἐγκεφάλῳ. ια΄ Περὶ λυσσοδήκ-
των. ιβ΄ Περὶ παραλύσεως. ιγ΄ Περὶ ῥι-
γους ἀνεκθερμάντου. ιδ΄ Περὶ σπασμῶν.
ιε΄ Περὶ τετάνου. ιϛ΄ Περὶ κεφαλαλγιῶν. ιζ΄ Περὶ
κεφαλαίας. ιη΄ Περὶ ἡμικρανίας. ιθ΄ Περὶ
σεισοκεφάλων. κ΄ Περὶ σκριῶν παιδίων.
κα΄ Περὶ ἀλωπεκίας καὶ ὀφιάσεως. κβ΄ Ὅσα ἁπλᾶ
πρὸς ἀλωπεκίας καὶ ὀφιάσεις. κγ΄ Πρὸς ῥεούσας τρίχας.
λεπτυντικὰ τριχῶν. κδ΄ Περὶ πιτυριάσεως.
κε΄ Περὶ φθειριάσεως. κϛ΄ Περὶ ἀχώρων καὶ κηρίων.
κζ΄ Πῶς ἑλκοῦται ἡ κεφαλή. κη΄ Πρὸς δυσωδίαν κε-
φαλῆς. κθ΄ Πρὸς δυσωδίαν ῥινός. λ΄ Πρὸς
ὑπώπια. λα΄ Πρὸς ἐγχυμώματα χρόνια.
λβ΄ Πρὸς χειλέων ῥαγάδας. λγ΄ Πρὸς ἐφήλεις καὶ φακούς.
λδ΄ Περὶ τῶν ἐν γενείῳ συκωδῶν ἐπαναστάσεων. λε΄ Περὶ
μασχαλῶν δυσωδίας. λϛ΄ Περὶ ὀφθαλμίας.
λζ΄ Περὶ ὀφθαλμῶν φλεγμονῆς. λη΄ Περὶ ὀφθαλμῶν
ὀδύνης. λθ΄ Περὶ χημώσεως. μ΄ Περὶ φλυ-
κταινῶν ἐν ὀφθαλμοῖς. μα΄ Γαληνοῦ περὶ φλυκ-
ταινῶν. μβ΄ Περὶ ἀνθρακώσεως ὀφθαλμῶν.
μγ΄ Περὶ μυδριάσεως. μδ΄ Περὶ φθίσεως καὶ ἀ-
τροφίας. με΄ Περὶ νυκτάλωπος. μϛ΄ Περὶ

γλαυκώματος καὶ ὑποχύματος. μζ΄ περὶ
ἀμαυρώσεως, καὶ ἀμβλυωπίας.
μη΄ περὶ γραγισμοῦ. περὶ μθ΄
ἐκπιεσμοῦ.
ν΄ περὶ συγχύσεως.
να΄ περὶ μυοπιάσεως
νβ΄ περὶ δακρυρροούντων.
νγ΄ περὶ ἀπανθίδων.
νδ΄ περὶ φθειριάσεως.
νε΄ περὶ ἐμφράξεως
μυξωτήρων.
νς΄ περὶ τῶν ἀ-
πληχομέ-
νων

## περὶ μνήμης ἀπωλείας. καὶ τῶν ἄλλων ἀγρυπνητικῶν καὶ τῶν καταφορικῶν.

Ἐπὶ τῆς ἀπωλείας ἢ μεγάλως βεβλαμμένης μνήμης. ἀρχή
ἡ μὲν ψυχρὰ δυσκρασία ἐστί, καὶ θερμαίνειν αὐτὴν προσή- ἢ πάντως
κον οὐ μὴν ἐξ ἀνάγκης ξηραίνειν. ὡς προσδεῖ ὑγραίνειν. ἀλ-
λ' ἢ μεθ' ὑγρότητος ξηραίνειν. ἢ μετὰ ξηρότητος ὑγραί-
νειν. ἐὰν δὲ ἐν τῷ μέσῳ τούτων ἐν αὐτῇ τῇ καταστάσει φυλάττειν.
τοὺς ληθαργικοὺς φλεβοτομεῖν χρὴ κατ' ἀρχὰς εὐθύς. καὶ
τοῦτο μὲν κοινὸν ἀμφοτέροις τοῖς νοσήμασιν. κοινὸν δὲ
καὶ τὸ κατὰ τὴν ἀρχὴν ὀξυρόδινον προσφέρειν. τὰ δὲ ἐ-
φεξῆς ἐναντία. πραΰνειν μὲν γὰρ προσήκει τὰ μὲν κατὰ
τὰς ἀγρυπνίας. ἐπεγείρειν δὲ τὰ κατὰ τὰς ἀκινησίας. ὅπως
οὖν ἀκμαζόντων αὐτῶν. τοῖς μὲν ἀγρυπνητικοῖς, καὶ παρα-
κοπτικοῖς

νοσήμασι τὰς διὰ μήκωνος κωδιῶν ἐπιβροχὰς προ-
σοίσομεν· ὀσφρανοῦμεν τε καὶ διαχρίσομεν ἤτοι τὰ πτε-
ρύγια τῆς ῥινὸς ἐκτὸς ἔνδον μεσῶν ἢ τὸ μέτωπον· ἐπὶ
δὲ τῶν ἐναντίων παθῶν ἐπεγεῖραι καὶ τέμνειν· καὶ θερ-
μᾶναι προσήκει τάχος τοῦ λυποῦντος χυμοῦ· ἐναφέ-
ψοντες οὖν ὄξει θύμον, καὶ γλήχωνα· καὶ ὀρίγανον· καὶ
ὅσα τἄλλα τῇ ῥινὶ τῶν οὕτως διακειμένων προσοίσομεν·
μετὰ δὲ ταῦτα καὶ τὸν οὐρανίσκον ἰσχυροῖς καὶ δριμέσι
φαρμάκοις χρησόμεθα· καὶ κατὰ τῆς κεφαλῆς ἐπιθή-
σομεν· ὁμοίως δυνάμεις φαρμάκων ἄχρι τοῦ νάπυος·
ἀλλὰ καὶ σικύαις ἐπ' ἀμφοτέρων χρονιζόντων χρησό-
μεθα καὶ τοῦ καστορίου·

## περὶ ἐφιάλτου

β' Οὐκ ἔστιν ὁ καλούμενος ἐφιάλτης δαίμων κακὸς· ἀλλὰ
μέντοι νόσος ἰσχυρά· ὁ δ' ὑποφήτης ἱερὸς καὶ θεράπων
ἀσκληπιοῦ· προοίμια δὲ ἐφιάλτου τοιαῦτα· πνὶξ·
ἀφωνία· βάρος· φυλακτέον οὖν τὸ δεινὸν ἀρχόμενον·
χρονίζων γὰρ καὶ συνεχῶς νύκτωρ ἐπιπίπτων νοσή-
ματι τῶν μεγάλων ἀποπληξίαν ἢ μανίαν· ἢ ἐπιλη-
ψίαν ἀγγέλλει· ὅταν ἐπὶ τὴν κεφαλὴν φέρηται ἡ αἰτία·
ὅσα γὰρ οἱ ἐπιληπτικοὶ μεθ' ἡμέραν· ταῦτα οἱ ἐφιαλτι-
κοὶ πάσχουσι κοιμώμενοι· χρὴ οὖν τέμνοντα φλέ-
βα· καὶ καθάρσεσι παραλαμβάνοντα κενοῦν ὅλον
τὸ σῶμα πάσχοντος· μάλιστα δὲ βοηθεῖ τούτοις μέλας
ἐλλέβορος· ἢ δραχμὴ μία ὀποῦ σκαμμωνίας· σμίγεις
ὀβολοὺς γ΄· καὶ τινὰ τῶν εὐωδῶν ἀνίσου· δαύκου· πε-
τροσελίνου· καὶ ἡ διὰ τῆς σικύου ἡ ἱερὰ, μεγάλως
βοηθεῖ· ἡ δὲ δίαιτα ἔστω λεπτή· καὶ τὰ φυσώδη φυ-
λάττεσθαι χρή· βοηθεῖ δὲ αὐτοῖς καὶ ὁ τῆς παιονίας καρ-
πός· κόκκους δὲ πέντε καὶ δέκα τοὺς μέλανας πίνε(ιν)

φυσώδη legit Pau. li. 3. c. 15.

κεφάλαιο

μεθ᾽ ὕδατος πίνειν συνεχῶς:

## Περὶ ἐπιληψίας:

Τοὺς ἐμπεσόντας εἰς ἐπιληψίαν λιπαρῶς ἐπεμβρέχειν
τὰ σπώμενα· καὶ διαστρεφόμενα μέρη· διακρατεῖν τε
καὶ ἀπευθύνειν· ἔπειτα διασχόντας τὸ στόμα ἐπικαθεῖ-
ναι δάκτυλον· ἢ πτερὸν κεχρισμένον ἐλαίῳ ἰρίνῳ πρὸς
τὸ κομίζεσθαι φλέγμα· χρηστέον δὲ καὶ τοῖς ὀσφραντοῖς τῶν
αἴσθησιν ἐρεθιζόντων· οἷον πευκεδάνῳ· κυρηναϊκῷ ὀ-
πῷ· ἀσφάλτῳ· καστορίῳ· πίσσῃ· μετὰ δὲ τοὺς παρο-
ξυσμούς· εἰ μηδὲν κωλύει φλεβοτομίᾳ χρηστέον ἀπ᾽ ἀγ-
κῶνος· μηδενὸς ἐπείγοντος τοῦ παροξυσμοῦ, καὶ τὰ
μετὰ ἀκρασιναπισμῶν κατὰ πλέον· σικύαν δὲ κωλυ-
τέον τοῖς ὑποχονδρίοις· μὴ γινομένης δὲ πρὸς ταῦτα ἀ-
νοχῆς· ὀλίγη μὲν ἐλπίς· ὅμως δὲ θαρσαλέως ὁ ἰατρὸς κα-
στόριον βιαζόμενος ἄχρι τοῦ ὅπου κύριον ἀγῇ· μετὰ με-
λιτος καὶ ὄξους· καὶ δι᾽ ἕδρας ἐνιέτω κενταυρίου ἀφέ-
ψημα· ἢ κολοκυνθίδος· τοὺς δὲ ἀναστάντας ἐκ τῆς ἐπι-
ληψίας μετὰ τῶν ἀναληπτικῶν τῷ διὰ τῆς ἱερᾶς καθαρσίῳ
χρῆσθαι· τοιαύτη μὲν ἐστὶν ἡ τοῦ ἐφιάλτου καὶ ὀξείας
ἐπιληψίας θεραπεία· ἐφεξῆς δὲ ἤδη πρὸς ἀνασκευὴν τοῖς
κεχρονισμένοις παραδώσομεν· χρὴ τοίνυν τοὺς πάσ-
χοντας ἐν ὑδροποσίᾳ μὲν μακρᾷ συνέχειν· ἐγχει-
ροῦντας δὲ τῇ θεραπείᾳ φλεβοτομεῖν εἰ μηδὲν κωλύει·
καὶ διαλιπόντας τέσσαρας ἢ πέντε ἡμέρας· ἀναλαμ-
βάνειν τὸ σωμάτιον· καὶ οὕτως καθαρτικὸν ὑποκενοῦν·
μάλιστα μὲν οὖν δι᾽ ἐλλεβόρου μέλανος· ἢ κολοκυνθίδος·
ἢ τοῦ διὰ σκαμμωνίας· δεῖ δὲ τοῦ μὲν ἐλλεβόρου δίχα τῆς
ἐντεριώνης κεκομμένου καὶ σεσησμένου· ἐμπάσσειν
μελικράτου κυάθους πέντε ἢ ἕξ· μέλιτι ἀπέφθῳ
ἀναλαμβάνειν μετ᾽ ὀλίγου πεπέρεως· τῆς δὲ κολοκυνθί-
δος

Γ

Τὸ ἀπόζεμα ἐμβάλλοντας, πλήρες οἴνου ἔχουσαν αὐτὴν τὴν
ἐντεριώνην δὲ γλυκέος· καὶ ἐὰν ὅλην τὴν νύκτα ἐῶ-
σιν ἢ κεράσαντας τὸ γλυκὺ διδόναι πίνειν· μετὰ δὲ
τὴν αὐτάρκη κάθαρσιν λούειν αὐτούς· τῇ δὲ ἐπιούσῃ σικυάζε-
σθαι τὸ ὑποχόνδριον καὶ μετάφρενον μετὰ ἀμυχῶν· εἶ-
τα διαστήσαντας ἱκανὰς ἡμέρας καὶ ἀναλαμβάνοντας
τὸ σωμάτιον τῆς διὰ κολοκυνθίδος ἱερᾶς προσάγειν· εἶ-
τα μετὰ τοῦτο σικυαστέον κεφαλὴν καὶ ἰνίον· ταῖς δὲ ἑξῆς
καταπλαστέον ἄρτῳ ἑψημένῳ μετὰ μελικράτου· σὺν ἐλαί-
ωμῷ ἢ πικροῖς ἀμυγδάλοις· ἑρπύλλῳ ἢ ἡδυόσμῳ ἢ κα-
λαμίνθῃ ἢ πηγάνῳ· καὶ τοῦτο ποιητέον ἐπὶ ζ' εἰς
ἡμέρας· καὶ μετὰ τοῦτο ξυράμενον τὴν κεφαλὴν, κα-
ταχρίειν πευκεδάνου ὀπῷ σὺν ὄξει διειμένῳ· ὥσπερ
δηλίου ἐνέχηται· διαστήσαντας δὲ πάλιν· καὶ ἀναλα-
βόντες τὸ σωμάτιον, διδόναι τῆς διὰ κολοκυνθίδος
ἀντιδότου ὀβολοὺς ἐννέα ἐν μελικράτῳ· καὶ διαστήσαν-
τα ἡμέραν πάλιν διδόναι τῆς ἀντιδότου ∠ ς'· ἔλαττον παρα-
μικροῖς χρῆσθαι· καὶ μετὰ πέντε ἢ δέκα ἡμέρας, κα-
στορίου διδόναι ἐν μελικράτῳ· καὶ διαστήσαντα πάλιν
κλύζειν τῷ διὰ κενταυρίου· καὶ ἐφεξῆς ἀποφλεγμα-
τισμοῖς χρῆσθαι καὶ ἐρρίνοις· ἔλαττον τῶν σιναπισ-
μῶν κατὰ τῆς κεφαλῆς· δεῖ δὲ καὶ δριμυφαγίαις ἐν
καιρῷ χρῆσθαι·

## ἐκ τοῦ Γαληνοῦ· πρὸς ἐπιληπτικούς

δ' Τοὺς ἐπιληπτικοὺς ὀνίνησιν ὀξύμελι καθ' ἕκαστον λαμβα-
νόμενον· καὶ μάλιστα ἐὰν διὰ σκίλλης σκευασθῇ· ὠ-
φελεῖ δὲ αὐτοῖς καὶ καστόριον σὺν θείῳ σὺν ἔχεως ἐσθι-
ομένη· καὶ θηριακός· ἔστι δὲ καὶ θηριακὸς φάρμακον δι-
ὰ σκίλλης ὠφελιμώτατον τοιοῦ τε τῶν μελιτηρῶν ἀγ-
γείων παρασκευάσαντα· καὶ εἰς λεπτὰ τὴν σκίλλαν

σπαρμιχθεῖς ρα. h. 3°

ἀλλὰ ῥίψας ταῖς χερσί· καὶ βαλὼν εἰς τὸ ἀγγεῖον πω-
μάσας τε στεγανῷ πώματι· καὶ περιθεὶς ὅλῳ τῷ στό-
ματι τοῦ ἀγγείου δέρμα καὶ δήσας ἀκριβῶς ἐν ἡλίῳ κα-
τάθου· πρὸς μεσημβρίαν μὲν ἐστραμμένῳ· σκεπομένῳ
δὲ ὑπὸ τῶν βορείων πνευμάτων· γινέσθω δὲ ἐν τῇ τοῦ κυ-
νὸς ἐπιτολῇ· ἡμέραι δέ εἰσι τεσσαράκοντα· ἄξεμας δὲ ἐπὶ
ὑπ παλαιάλλην χρὴ τὴν θέσιν τοῦ ἀγγείου· λύσας γὰρ μετὰ
τὸν εἰρημένον χρόνον· εὑρίσκω τὸ σῶμα τῆς σκίλλης ἐκτη-
κόμενον παραπλήσιον· ἐξερρυηκότα δὲ καὶ τὸν χυλὸν αὐ-
τῆς· ὃν ἀναιρούμενον ἡδύνειν χρὴ μέλιτι καλλίστῳ· καὶ
διδόναι τούτου καθ' ἑκάστην ἡμέραν κοχλιάριον ἓν με-
στόν· τοῖς μὲν παιδίοις μικρόν· τοῖς δὲ τελείοις μέγα· καὶ τό-
τε καὶ τὸ σῶμα αὐτὸ τῆς σκίλλης κόψας ἁπλῶς, καὶ
λειώσας μετὰ μέλιτος, δίδου κοχλιάριον ἕν· σαυτοῦ
δὲ ἔστι τοῦτο τὸ ἴδιον ἁπάντων· εἰ δὲ πρωτοπαθοῦντος τοῦ στομά-
χου γίνοιτο πάθος, κελεύειν χρὴ ἀπεψίας προνοοῦν-
τα τὸν πάσχοντα· περὶ δὲ τὴν ὥραν ἄρτον ἐπιμελῶς
ἐσκευασμένον προσφέρεσθαι ἐξ οἴνου κεκραμένου
τῶν ἠρέμα στυφόντων καὶ λεπτῶν· δίδου δὲ τούτοις καὶ
τοῦ διὰ λόγου φαρμάκου· δίδου καὶ τῆς ἐκ σχοίνου.
ὅτι δέ ποτε παιδίον οὐδόλως ἐπιληφθὲν ἐξ ὅτου τῆς
ῥίζης τῆς γλυκυσίδης ἐφόρει μέρος· καὶ πρὸς φακὸν ἐ-
ξαρτώμενον τῷ τραχήλῳ· καὶ τὸ ἀγαρικὸν δὲ τοὺς ἐπι-
ληπτικοὺς ὀνίνησι· σέσελι καὶ τοῦ σπονδυλίου ὁ
καρπός· καὶ ἡ ῥίζα· καὶ ἀριστολοχία στρογγύλη μεθ' ὕ-
δατος πινομένη· βοηθεῖ δὲ μεγάλως τούτοις καὶ ἡ
ἀπόσχασις τῶν σκελῶν συνεχῶς γινομένη:

περὶ σκοτωματικῶν: ε'

Τοὺς σκοτωματικοὺς ἐν ἐπιστάσει μὲν γινομένους θε-
ραπευτέον τοῖς τε ἐπιτηδείοις ὀσφραντοῖς χρωμένους καὶ

ζῆν ἐπὶ τῶν ἀγρῶν καὶ τῶν τοιούτων· ἐὰν δὲ ὅλως τύχωσι
τας πρὸς ἀνασκευὴν τοῦ πάθους φλεβοτομητέον πρῶ-
τον· εἶτα καθαρτέον τῇ ἱερᾷ· καὶ διαιτητέον τε καὶ κλύσμασι
δριμέσι χρηστέον· κενταυρίου ἢ κολοκυνθίδος ἀφεψή-
ματι· μετὰ δὲ τὰς τοιαύτας κενώσεις ἀμυκτέον τοπι-
κῶς τὴν κεφαλὴν σικύαις τοῦ ἰνίου μετ' ἐγχαράξεως·
καὶ μετὰ ταῦτα τοῖς ἀποφλεγματισμοῖς καὶ πταρμοῖς.

Περὶ ἀποπληξίας· ἐκ τῶν Φιλουμένου.

ε' Τῶν ἑαλωκότων ἀποπληξίᾳ ἐλαίῳ πολλῷ λιπαίνειν
τεθερμασμένῳ· καὶ τὴν κεφαλὴν ἐπιβρέχειν ῥοδίνῳ σὺν
θερμῷ· μετ' ὀξυκράτου τε ἐν στάξει· καὶ ὀσφραντὰ προσά-
γειν· καστόριον· ὀποπάνακα· καὶ χαλβάνην· δεῖ δὲ
καὶ βιαίως διανοίγοντας τὸ στόμα καθιέναι δακτύλου· ἢ πτε-
ρὸν ἐλαίῳ διάβροχον ἐπὶ τὸ σκληθῆναι εἴ τι περιττὸν
ἐγκείμενον εἴη· καὶ διαχρίειν τὴν ἕδραν τῆς ἀπαγωγῆς τῶν
πνευμάτων· εἰ δὲ μηδὲν ἀνύει ταῦτα· χρῆσθαι κλύσμα-
σι δριμυτέροις· ἀλλὰ μὴν καὶ μὴ σφύζοντας· τούτων πραχ-
θέντων φλέβα τέμνειν χρή· μετὰ δὲ τὴν φλεβοτομίαν,
πάλιν τοῖς δριμυτέροις χρησόμεθα.

Περὶ μελαγχολίας

ζ' Περὶ ταύτης μὲν, ὅταν ὅλον τὸ σῶμα μελαγχολικὸν ἔ-
χῃ τὸ αἷμα, τὴν ἀρχὴν τῆς θεραπείας ἀπὸ φλεβοτομίας ποι-
εῖσθαι προσήκει· ὅταν δὲ τὸ κατὰ μόνον τὸν ἐγκέφα-
λον, οὐ χρῄζει φλεβοτομίας ὁ κάμνων· ἔστι δέ τις καὶ τρίτη
διαφορὰ μελαγχολίας· ὅταν ὥσπερ ἐπὶ τὸ πλεῖστα τὴν ἀρ-
χὴν ἀπὸ τῆς κοιλίας ἴσχῃ· καλοῦσι δὲ ἔνιοι τῶν παλαι-
ῶν ὑποχονδριακὸν νόσημα τὴν τοιαύτην διάθεσιν· ἐὰν
μὲν οὖν ἄρξηται πρῶτον τὰ κατὰ τὴν γαστέρα συμπτώματα·
καὶ μείζονα ἑαυτοῖς γινομένοις, ἀκολουθοῦσι δὲ τὰ με-
λαγχολικὰ καὶ πάθη· κουφίζεται δὲ ταῖς διαχωρήσεσι

καὶ τοῖς ἀμέλοις· καὶ ταῖς ἀπεψίαις· καὶ ταῖς ἐρυγαῖς ὁ αὐτός· ὑποχονδριακὸν γὰρ ὀνομάζομεν· καὶ φυσῶδες τὸ νόσημα· σύμπτωμα εἶναι φασὶ τούτων τὴν δυσθυμίαν καὶ τὸν φόβον· ὅταν δὲ τὰ τῆς μελαγχολίας ἴδια συμπτώματα φαίνηται μεγάλα· κατὰ τὴν κοιλίαν ἤτοι μυελὸν ἢ στομαχικὸν τὸν ἐγκέφαλον ἢ πλεῖον ἐπὶ τούτων πρῶτον πάθειν· ἢ ἀθροιζομένης ἐν αὐτῷ μελαίνης χολῆς· δεῖ δὲ τὴν τοιαύτην μελαγχολίαν διὰ τελουτρῶν συνεχῶν· καὶ διαίτης ἀλύμου τε καὶ ὑγρᾶς ἐνθεραπεύειν· χωρὶς ἑτέρου βοηθήματος· ὅταν τε μήπω διὰ χρόνου μῆκος δύσεκνενωτος ὁ λυπῶν ὁ χυμός· ἵνα καὶ ποικιλοτέρας τε καὶ ἰσχυρὰς προσάγειν χρὴ τὰς ἰάσεις· ἀρχόμενον οὖν θεραπεύειν τὸ πάθος προσήκει· χρονίζον γὰρ καὶ αὐξηθὲν, δύσμεταχείριστον γίνεται· καθαίρειν τοίνυν πρῶτον χρὴ ἐπίθυμον ἢ ἀλόην· τούτων γὰρ ἐφεξῆς καὶ μεγάλα λαμβάνειν ὠφελεῖ ἱερὰ μεγίστη· καὶ οὐχ ἥκιστα καθαίροντα γοῦν ὡς εἴρηται διδόναι τὴν ἀψινθίαν· νῦν μὲν τῆς πόας βραχείων ἐν ὕδατι καὶ ἑψῶν ὅσον κυάθους δύο· (κ βρέχων) νῦν δὲ τοῦ χυλοῦ ὅσον ἡμίδραχμον διατήκων ὕδατι συνεχῶς· καὶ ὄξους δὲ ἐπιφέρειν ὡς δριμυτάτου βραχύ· καθαίρει γὰρ μέλλουσα καὶ τὰ πολλὰ τῶν ὄντων διὰ τοῦτο ἀποβάλλοντα ἐσθίειν· ἄμεινον δὲ μεμίχθαι τῷ ὄξει σκίλλης καὶ πολίου· καὶ τῆς λεπτῆς ἀριστολοχίας· ὅταν δὲ ἐν τύχῃ δὲ ἀρχομένῳ μὲν τῷ νοσήματι· συνεσωτι δὲ τῷ σώματι, συνέχον καὶ φλέβα ἐν ἀγκῶνι τεμεῖν· μετὰ δὲ τὴν φλεβοτομίαν ἀνακομιζομένῳ καθαίρειν· τῷ διὰ σικυωνίου· καὶ τὰ διὰ ἀμμωνιακοῦ ἐλλεβόρου· ἀγαθὸν δὲ καὶ τὸ διὰ τοῦ ἐπιθύμου καὶ τῆς ἀλόης· σμικρὸν δὲ ἀφορβίου σύμφορον· καὶ τοῖς

μελανος και.
κ. ζ. ιδ.

ὄρροις κατασκευάζειν· ἴασις δὲ τοῦ νοσήματος καὶ αἱ
διουρητικαὶ δυνάμεις· ἀλλὰ καὶ ἡ καὶ αἱ διὰ τῶν ἱδρώ-
των καθάρσεις· χρὴ δὲ καὶ τῶν ὑποχονδρίων φροντί-
δα ποιεῖσθαι· καὶ πυρίαν ἐπ' αὐτὰ διαβρέχοντας
πιτύρου ἀφεψήματι· καὶ ἀνήθου καὶ ἀψινθίου καὶ
γλήχωνος· καὶ λίνου σπέρματος· καὶ δάφνης τοῦ
καρποῦ· ταῦτα γὰρ καὶ τοὺς πόνους παρηγορεῖ· καὶ
τὰς φύσας μετὰ τοῦ ἑψηθῆναι ἐν ἐλαίῳ καὶ τὴν πλατεῖαν· ἐ-
χέτω δὲ καὶ τούτων τι τὰ καταπλάσματα· καὶ τῶν πρὸς
τὰς φύσας τὸ σχῖνον ἢ τὸ ἄνισον· ἢ τὸ κύμινον· οὐχ ἧττον
δὲ κύπερον· καὶ ἶριν· καὶ λιβανωτὸν ἐμβάλλειν εἰς
τὸ κατάπλασμα· ἐὰν δὲ ἐπὶ πολὺ προσκεῖσθαι αὐτὰ
καὶ δι' ἡμέρας· καὶ ἔνδον ὁ κάμνων καὶ ἀσιτείτω· ὅταν δὲ ἀφε-
λῃς ἀπ' αὐτοῦ τὸ σκέπασμα, ἐπίβαλλε ἢ ἔριον πλατύ·
καὶ σικύαις χρῆσθαι πρὸς τὰ πνεύματα κούφαις· πρὸ
δὲ τοὺς πόνους καὶ τὰς φλεγμονὰς ἀποχαλῶν· προϊόν-
τας δὲ τῆς θεραπείας· μὴ δὲ τοῦ νάπυος ἐπιλανθάνεσθαι·
χρῆσθαι δὲ καὶ τοῖς δριμέσι σμήγμασι καὶ δρώπαξι κα-
τά τε μεταφρένου καὶ τῆς γαστρός·

## Περὶ μανίας· ἐκ τῶν Φιλουμένου·

ιε' Θεραπεία τῆς μανίας ἐστὶν ἡ αὐτὴ τῆς μελαγχολίας· μάλι-
στα δὲ αὐτοὺς ὠφελεῖ ὑπὸ μαράθρου ἡ ῥίζα· καὶ τὸ πόσ-
μα πινόμενον ἐν ὕδατι· καὶ βρυωνίας ῥίζα τὰ μεθ' ὕ-
δατος καθ' ἡμέραν·

## Περὶ ἐρώντων·

ιϛ' Οὐχ ἧττον δὲ τοὺς ἐρῶντας δυσθυμουμένους καὶ ἀγρυπνοῦντας, τι-
νὲς ἀγνοοῦντες τὴν διάθεσιν ἀλουσίαις τε καὶ ἀσιτίαις
καὶ λεπτῇ διαίτῃ καὶ τῇ λοιπῇ ἐφόδῳ ἐξάγουσιν· ἡμεῖς δὲ τὸν
ἔρωτα ἐπιγνόντες λουτρὰ καὶ οἰνοποσίαν αἰωρήσεις τε καὶ θε-
άματα· καὶ ἀκούσματα τὴν διάνοιαν ἀπηλλάττομεν· ἐνίοις

δὲ καὶ φόβον ἀπηρτῆσθαι· οἱ γὰρ σχολάζοντες αὐτῷ
ἐρῶντι· δυσέκνιπτον ἔχουσι τὸ πάθος· χρὴ οὖν καὶ φι-
λονεικίᾳ πρός τινας ἐπεγείρειν κατὰ λόγους ὑποθέσεις· ὧν
προσφέρονται βίων ἕκαστοι· παρακολουθεῖ δὲ τοῖς
ἐρῶσι τάδε· ὀφθαλμοὶ κοῖλοι· καὶ οὐ δακρύουσι·
φαινόμενοι δὲ ὥσπερ ἡδονῆς πεπληρωμένοι εἰσί· κι-
νεῖται δὲ αὐτοῖς καὶ τὰ βλέφαρα θαμινά· τῶν τε ἄλλων
σώματος μερῶν συμπιπτόντων· μόνοι οὗτοι τοῖς ἐρῶ-
σιν οὐ συμπίπτουσιν·

περὶ λυκανθρωπίας

Οἱ τῇ λυκανθρωπίᾳ κατεχόμενοι, νύκτωρ ἐξιόντες τὰ πάν-
τα λύκους μιμούμενοι· καὶ μέχρι ἡμέρας περὶ τὰ μνήμα-
τα διατρίβουσι· γνωριεῖς δὲ τοὺς οὕτω πάσχοντας διὰ τῶνδε·
ὠχροὶ τυγχάνουσιν· ἀδρανεῖς καὶ ξηροὺς τοὺς ὀφθαλ-
μοὺς ἴσχουσι· καὶ οὐ δακρύουσι· θεάσῃ δὲ αὐτοὺς κοίλους
τοὺς ὀφθαλμοὺς ἔχοντες· καὶ τὴν γλῶσσαν ξηροτάτην· καὶ
σίελον οὐδόλως προχωροῦν αὐτοῖς· εἰσὶ δὲ καὶ διψώδεις·
καὶ τὰς κνήμας διὰ τὸ πολλάκις προσπταίειν ἀνιάτως
ἡλκωμένας ἴσχουσι· τοιαῦτα μὲν αὐτῶν τὰ γνωρίσματα·
γινώσκειν δὲ χρὴ ὅτι μελαγχολίας εἶδος ἡ λυκανθρω-
πία· ἣν θεραπεύσεις κατὰ τὸν τῆς ἐπισημασίας χρόνον·
τέμνων φλέβα· καὶ κενῶν τοῦ αἵματος ἄχρι λειποθυ-
μίας· καὶ διαιτῶν τὸν κάμνοντα εὐχύμοις τροφαῖς· κεχρῆ-
σθω δὲ τοῖς λουτροῖς γλυκέσιν· εἶτα ὀρρῷ γάλακτος χρη-
σάμενος· ἐπὶ τρεῖς ἡμέρας καθαιρέτω διὰ τῆς κολοκυν-
θίδος ἱερᾶ· καὶ δεύτερον καὶ τρίτον· μετὰ δὲ τὰς καθά-
ρσεις, καὶ τῇ διὰ τῶν ἐχιδνῶν θηριακῇ χρηστέον· καὶ τἄλλα καθάρσεις
παραληπτέον· ὅσα ἐπὶ τῆς μελαγχολίας εἴρηται· ἐπερ-
χομένης δὲ ἤδη τῆς νόσου ὕπνοις ἐμποιοῦσι χρῶ· ἐπιβρεγ-
ματίσει· καὶ ὀπίῳ δὲ (ῥόδινον) ὦτα καὶ μυκτῆρας εἰς

ληρίων pau. l. 3. c. 15.

ὕπνον ζεπομένοις.

περὶ φλεγμονῆς ἐγκεφάλου· ἐκ τῶν Φιλουμένου·

ια' Φλεγμαίνων ὁ ἐγκέφαλος, οἰδεῖ πολλάκις οὕτως, ὥστε καὶ τὰς ἐν κεφαλῇ ῥαφὰς διΐστασθαι· καὶ ὀδύνη ἡ μεγίστη καὶ διαρκὴς παρέπεται· καὶ ἄση πολλή· ἔρευθός τε κατὰ τοῦ προσώπου πολὺ συνίσταται· καὶ ὄμματα προπετῆ γίνονται· καὶ οἰδεῖ τὸ πρόσωπον· καὶ ἡ κεφαλὴ πᾶσα· φλεβοτομεῖν οὖν τούτους χρή· καὶ κενοῦν ἀπ' ἀγκῶνος· δὶς ἢ καὶ ὑπὸ ῥινός· καὶ τῶν ὑπὸ τὴν γλῶτταν ἀγγείων κενοῦν τοῦ αἵματος· χρῶ δὲ καὶ ταῖς πρὸς τὰς φλεγμονὰς κατὰ τῆς κεφαλῆς διαβροχαῖς καὶ καταπλάσμασι· ταῖς ἀνυγραίνουσι καὶ πεπαίνειν δυναμένοις.

περὶ ἐρυσιπέλατος ἐγκεφάλου·

ιβ' Γίνεται ἐρυσίπελας ἐν ἐγκεφάλῳ· καὶ πάσχει ὁ κάμνων τά δε ἄλλα τῶν κεφαλικῶν πάθων· καὶ δοκεῖ φλόγα ἐν αὐτῇ εἶναι· καὶ τὸ πρόσωπον τοῦ πάσχοντος εὔχρόν ἐστι καὶ ὕπωχρον· καὶ ξηραίνεται τὸ στόμα· φλεβοτομητέον οὖν τὸν οὕτω πάσχοντα· καὶ μάλιστα τὰς ἐπὶ τῆς γλώττης φλέβας διαιρεῖν· καὶ προσφέρειν τὰ τυχόντα· οἷς καὶ ἐπὶ τῶν ἄλλων ἐρυσιπελάτων χρώμεθα.

περὶ λυσσοδήκτων

ιγ' Οἱ δηχθέντες ὑπὸ λυσσῶντος κυνὸς τάδε· ἄφωνοί τὸ ἐπίπαν εἰσί· καὶ ἄφρονες· ὥστε μηδὲ τοὺς οἰκειοτάτους γνωρίζειν· ἀπόσιτοί τε καὶ διψώδεις μέν· οὐ ποτικοί· καὶ ἀσθμαίνουσιν ἐπὶ πολύ· καὶ τὰ ἄλλα κλίνουσι σίελον ἢ διατελὲς καὶ ἀφρώδη ἀφιᾶσι· τοὺς δὲ δηχθέντας αὐτίκα θεραπεύουσι πᾶσαν τὴν νενομισμένην θεραπείαν· κἂν μικρὸν καὶ ἐπιπόλαιον ᾖ τὸ ἕλκος· καὶ μὴ ἄγειν εἰς οὐλὴν ταχέως· ἀπονίζειν ἢ ἐκ τῶν τὰς

ἐν ὕδατι τὴν ἀνθεμίδα· καὶ τὴν τοῦ ἀγρίου λαπά-
θου ῥίζαν· πίνειν τε τὸ λύκιον· καὶ τὸν ὀπὸν τοῦ σιλφίου· τοῦ-
το ἢ καὶ ἐς τὸ ἕλκος ἐντιθέναι· πίνειν ἢ καὶ χαμαίδρυ-
ον· καὶ σκόρδιον· καὶ γεντιανῆς ῥίζαν· καὶ πόλιον· καὶ
ποταμίων καὶ καρκίνων τὸ ἔψημα· ἀνήθου πολυσπέρ-
μων· καθαίρειν ἢ διὰ τῆς σικυωνίας καθαρτικόν· καὶ
διδόναι ἐφεξῆς ἐκ τούτου τοῦ φαρμάκου· οὐκ ἐς κάθαρ-
σιν ὅλον κύαμον μετὰ ὕδατος· τὸ ἢ ὕδρον ἆσω ἐλελισφά-
κου ἀφέψημα· ἢ τῆς σιδηρίτιδος τῆς ἡρακλείου· ἣν
καὶ ἄλλως ὀνομάζουσι διὰ τὸ καὶ μόνην αὐτὴν ὠφε-
λεῖν· δοκιμάζεται ὠφελίμως καὶ τοῦ δ' ἐχίδνου· πε-
ριλαμβάνειν ἢ καὶ οὐρητικά· χρῆσθαι δὲ δεῖ καὶ τῇ προσ-
φορᾷ τοῦ ἥπατος τοῦ δάκνοντος κυνός· μὴ θαρρεῖν ἢ
μόνῃ· ἀλλὰ καὶ διὰ πάντων ἐπιχειρεῖν θεραπεύειν· ἀ-
πολλώνιος ἢ ὁ περγαμηνός· ἱστορηκέναι φησὶ πολλοὺς
σεσωκέναι τοὺς ὑδροφόβῳ ληφθέντας, δι' ἄλλων τινὰ
ἀξιοῦντας κατασκευῶν, ἀξιοῦντας τὰς παλαιάς· τῶν δὲ ἢ διὰ δῆξιν λυσσῶν-
τος κυνὸς οὐδένα σωθῆναι·

περὶ παραλύσεως.

Παντελῶς μὲν ἅμα τῶν νεύρων ἀπολεσάντων τὴν αἴσθησίν- ιδʹ
τε καὶ κίνησιν ἀποπληξία τὸ πάθος ὀνομάζεται·
κατὰ θάτερον ἢ μέρος ἤτοι τὸ δεξιὸν ἤτοι τὸ ἀριστερὸν
εἰ συμβαίη τοῦτο παράλυσις καλεῖται τοῦ μέρους ἐκείνου
καθὸ συμβέβηκε· συμβαίνει δὲ τὸ πάθος ὑγρῶν τε ἰσχυρῶν
καὶ παχέων ἐμφραττόντων τὸ νεῦρον· δι' ὧν αἱ κατὰ
προαίρεσιν κινήσεις ἀποτελοῦνται· πρόδηλον οὖν
ὡς κενοῦσθαι δεῖ τὸν τοιοῦτον χυμόν· ἐκκενωθήσεται
ἢ τοῦ καθαρθέντος τῆς ἱερᾶς ποθείσης· διδοὺς ἀπὸ δρα-
χμῆς ἀρξάμενον· διδόναι τοῦ φαρμάκου χωρὶς μέλιτος
ἐπεμβάλλοντος· πέπερι χνοώδους· βουλόμεθα

γὰρ ἀναδοθῆναι τὸ φάρμακον οὐκ ἀθροῖσαι· καὶ διὰ ξίτης πάλιν δοθῆναι ἢ καὶ πλεῖον· εἶτα διὰ ε΄ ἢ ϛ΄ ἡμέρας τέσσαρας· αὖθις διδόναι δύο· ὁμοίως καὶ πάλιν εἰς δραχμὰς διδόναι· διὰ ε΄ ἢ ϛ΄ εἶτα δὲ μετὰ ταῦτα, τὴν τελείαν διδόναι ∠α΄· καὶ τοῦ μεγίστου ἐπεμβάλλοντος· καὶ τῶν ἄλλων ὅσον κοχλιάριον· μίγνυνται ἢ καὶ νῦν πέπερι· ἐὰν μέντοι ἐπὶ τοιαύτῃ δόσει καθαρθῇ τελέως ὁ θεραπευόμενος· εἰ δὲ μή, αὖθις καὶ πέντε ∠ διδόναι· ἐξ ἢ δὶς καὶ ἕξ· ἐὰν ἀκμάζοντες καὶ τὴν ἡλικίαν ὦσι· διαίτῃ δὲ λεπτυνούσῃ τέως· ἐπὶ δὲ τὸ διὰ τὴν ἔμφραξιν ἐρχομένους μόνον, ἐπιβάλλεται τῶν διαφορητικῶν φαρμάκων· χρὴ δὲ τῶν τε κατὰ πρόσωπον παραλελυμένων ἀποφλεγματισμοῖς χρῆσθαι οἷον ἔχουσι προσεχῶς ἀνακαθαίρειν αὐτῶν καὶ πταρμοὺς κινεῖν· καὶ τῆς κεφαλῆς προνοεῖν πο-τοίως· ἐφ' ὧν δὲ οὐ διὰ τῶν κατὰ πρόσωπον πεπονθότων, ἀρκεῖ προσφέρειν τὰ φάρμακα κατὰ τὸ καινὸν τε καὶ τοὺς πρώτους σπονδύλους· χρῆσθαι δὲ καὶ ἐπὶ τούτων ἀποφλεγματισμοῖς:—

## περὶ ῥίγους ἀναθερμάντου

ιε΄ Ἐπὶ ὑαλώδει πάνυ ψυχρῷ φλέγματι γίνεται τὸ τοιοῦτον ῥῖγος ἀναπύρετον καὶ χρὴ ἀδεῶς κεχρῆσθαι τοῖς θερμαίνουσιν ἐπὶ τούτων· καὶ τέμνουσι πάχος χυμῶν· ἐδέσμασί τε καὶ πόμασι φαρμάκοις τοιούτοις· δεῖ δὲ καὶ τὸ διὰ [illegible] πεπέρεων· εἶτα τὸ διὰ καλαμίνθης· εἶτα τὸ διὰ καλαμίνθης εἶτα τὸ διὰ ὀποῦ κυρηναϊκοῦ· καὶ καστορίου:—

## περὶ σπασμῶν.

ιϛ΄ Ὅταν ἀθρόως ἐξ ἀρχῆς ἢ μετὰ πολὺ τῆς ἀρχῆς τοῦ νοσήματος ἀρξάμενοι γίνεσθαι σπασμοὶ διαμένουσιν ὑπὸ πληρώσεως

ex paul. li. 3. c. 18

ἴσχουσι τὴν γένεσιν· ὅταν ἢ μετὰ ἱδρῶτας πολλοὺς ἢ ἐ-
μέτους ἢ διαχωρήσεις ἢ αἱμορραγίας ἢ ἀγρυπνίας ἢ λι-
μὸν ἢ κινήσεις πολλάς, καὶ σφοδρὰς ἐπιγενώσεσιν
ἕπονται· καὶ ὅταν τινὶ τῶν ὑγιαινόντων ἐξαίφνης σπασθῆ-
ναι συμβῇ, ἀναγκαῖον ἐπὶ πληρώσει γεγονέναι· ὅσοι ἐκ πυ-
ρετῶν διὰ καῦσον ξηρανθῇ ὅλον τὸ σῶμα καὶ τὰ νεῦρα· καὶ
πάντα διὰ τὴν ξηρότητα σπασθῇ, μέγιστον δὲ τοῦτο τῶν κα-
κῶν ἐστί, καὶ σχεδὸν ἀνίατον· ὅταν μὲν οὖν εἰς τὸ πρόσω
τείνῃ τὰ μόρια τοῦ σώματος, ἐμπροσθότονος· ὅταν δὲ
εἰς τοὐπίσω, ὀπισθότονος· τέτανος δὲ ἰσοσθενοῦς ἑκα-
τέρου· τοὺς μὲν ἐπὶ ξηρότητι σπασμοὺς ἰᾶσθαι τὸ μὲν πλῆ-
θος κενοῦν· τὴν δὲ φλεγμονὴν τοῖς ἰδίοις αὐτοῖς βοηθή-
μασιν ἐκθεραπεύων· γίνεται δὲ σπασμός, καὶ ὅταν σπα-
ραχθῶσι σφοδρότερον ἐμοῦντες· βοηθεῖ δὲ τοῖς σπω-
μένοις ἀκανθίου ῥίζα· καὶ ἀκάνθης τῆς λευκῆς τὸ ἀπόζε-
μα πινόμενον· καὶ τῆς αἰγυπτίας ἀκάνθης· καὶ τοῦ κεν-
ταυρίου δὲ τοῦ μικροῦ τὸν χυλὸν ἔνιοι διδόασι πίνειν· ὅταν
δὲ κατὰ πλήρωσιν ὁ σπασμὸς γένηται· μὴ μόνον δὲ δίδου
πίνειν· ἀλλὰ καὶ ἔξωθεν ἐπίχριε κατὰ τοῦ δέρματος
καστόριον, ἅμα σικυωνίῳ.

## περὶ τετάνου· ἐκ τῶν Φιλουμένου

Ἐπὶ τῶν τετανικῶν κύστιν πλατεῖαν θερμὸν ἔχουσαν ἔλαι- ιβ
ον τοῖς τένουσιν ἐπιτιθέναι χρή· ἵνα ὅλα θαλπόμενα
προσηνῶς ἐπὶ τὰ ἐναντία τῆς καθὸ συνῆκται φέρηται.
τὸ ὅλον τοίνυν ἀναλαμπτέον ταῖς ἐμβροχαῖς καὶ τοῖς
πολύμασι· πρῶτον μὲν δι' ἐλαίου γλυκέος· εἶτα
δι' ἐλαίου πηγανίνου ἢ καὶ σικυωνίου· πλέον δὲ αὐτ-
τὰ καταπλάσματα, διὰ τήλεως λινοσπέρμου,
κριθίνου ἀλεύρου· μετ' ἰσχάδων καὶ ἔλαιον ἐχέτω
περιλαμβανέτω δὲ καὶ αὐχένας καὶ σιαγόνας

τοὺς δὲ διὰ πλήθους ἢ
φλεγμονὴν γινομένους σπασμοὺς
ex Cau. lib. 3°. cap. 14.

ἑκατέρας. καὶ ῥάχιν ὅλην· μέχρι τῶν ἰσχίων. καὶ ὅσοι
πόνοι ἢ μετὰ μύξεως παραλυτικοὶ πολλαχόθεν. κα-
τὰ τραχήλου καὶ ῥάχεως ἑκατέρωθεν. καὶ κατὰ λουτρὸν
νου· μυωδῶν. καὶ κατὰ τῶν ὑποχονδρίων. ἐπὶ δὲ τῶν
χρονιζόντων. καὶ ζαῖς εἰς ἔλαιον ἐμβαλὼν ἐστὶ χρηστέ-
ον. καὶ δὲ τῆς κινήσεως. ἔλαττον δυνάμεως ἐπιβρέ-
ποι πηγάνινον ἔλαιον. τερεβινθίνης ἐμβάλλοντος
θερμὸν προσῳδὸς δέ σφας ἐνιέμενον, θαυμαστῶς
ὀνίνησιν αὐτούς· προποτίζειν ἢ αὐτοὺς ὀπὸν κύρηνα-
ικοῦ· ἀλλ' ἐπεὶ διαλυθὲν δὲ σταλακτῶν κατὰ ποσὶν, ποσό-
πλαστέον μεγίστη ἑψηθῶ· ὀρόβου τὸ μέγεθος. καὶ ῥί-
ζα δὲ τοῦ σιλφίου πασθεῖσα μετὰ κηρωτῶν δίδοται σύμ-
φορόντως. καὶ ἡ σμύρνα ὁμοίως. καὶ ὑσσώπου ἀφέ-
ψημα. πάντων ἢ ὠφελιμώτατον τὸ καστόριον δό-
τὸν καὶ δύο κοχλιάρια διδόν μετὰ μελικράτου
μεμερισμένως οὐχ ὑφέν.

ιη περὶ κεφαλαλγιῶν.

Ταῖς δ' ἐκ καύσου ἢ τινὰ θερμότητα κεφαλαλγίαις ἰᾶται
τὰ ψύχοντα δύναμιν αὐτοῦ στύφειν. ἄριστα
δ' αὐτῶν ἐστὶν, ὅτε λεπτομερέστεραις οὐσίαις ἐστίν. διὸ
κατ' ἀρχὰς οὐδὲν ἄμεινον τοῦ ῥοδίνου· τοῦ χωρὶς ἁλῶν κα-
τασκευασμένου· ἔστω δὲ μὴ παλαιὸν τὸ ῥόδινον. ἐφε-
ξῆς τῶν ῥοδίνων, τὸ χαμαιμήλινόν ἐστιν ἔλαιον. ἐφ' ὧν
μεγίστην δεῖ τὴν ἔμφραξιν ἐργάσασθαι. ἐπειδὰν
ἢ σφοδρῶς ψύξαι βουληθῶμεν τὸ ῥόδινον μιγνύναι
δεῖ τῷ προσήκειν χυλὸν ἀειζώου. ἀνδράχνης. κ(αὶ)
θριδακίνης καὶ ὄμφακος σταφυλῶν. μήκωνος
ἢ καὶ μανδραγόρου χυλὸν φυλαττέσθω. οὐ καὶ βλα-
βῶς γὰρ ἐντύχῃ. ἀνατρίψας δὲ ποτε καὶ λαβοῦσης
ὀλίγου αὐτῷ μιγνύναι χρή. ἐρασίστρατου δέ φησι βρέξας

εἰς ὕδωρ· καὶ ἐκπιέσας σφόδρα ἐπιτίθει κατὰ
τῆς κεφαλῆς. ἐπὶ δὲ τῆς κατὰ τὸ ἔξω κεφαλαλγίας,
πηγανίῳ ἐλαίῳ χρῆσθαι· σφοδροτέρου δὲ ὑπερδεκτ
κ τῆς θερμασίας, ἐμβάλλειν εὐφορβίου βραχὺ τῷ
ἐλαίῳ· ἀλείφειν ἢ μύρῳ ἰρίνῳ καὶ ἀμαρακίνῳ· καὶ τὸ
δάφνινον δὲ εἰς τὰ παρόντα χρήσιμον· διαχρίειν δὲ τούτοις
τὸ μέτωπον καὶ τῶν ῥινῶν· καὶ τῶν ὤτων τοὺς πόρους.
Ταῦτα μὲν οὖν ἀπὸ τῶν προσφάτων κεφαλαλγιῶν· ἐπὶ
δὲ τῶν χρονιζουσῶν ἀναγκαῖον γίνεται· ξυρᾶν τὴν
κεφαλὴν, φαρμάκου πρὸς φάρυγα ἐμπλάσσειν καὶ κηρω-
τήν· τῆς δὲ τρίχος οὔσης σμικροτάτης τοῖς ὑγροτέροις· τὴν δὲ
ὕλην τῶν φαρμάκων χρὴ μεταφέρειν· τινὰ μὲν τυχὸν ἐκ
ἀπὸ τῶν τὰ ἐρυσιπέλατα ἰωμένων· τινὰ δὲ θερμαινου-
σῶν διὰ τῶν θερμαινόντων, οἷον τὸ διὰ εὐφορβίου· εὐφορβ.
δὲ γο α ἐμβαλὼν ἐν ἐλαίῳ γλυκεῖ οὐγ. α· καὶ κηροῦ γο γ.
τινὲς δὲ ἐπὶ στομάχου κεφαλαλγίαν ἰᾶσθαι κενῶν τὰ
στόμα· ὡς ὅτι τάχιστα διὰ ἐμέτων· μηδενὸς δὲ ἐμοῦντος,
κἂν προσαχθῶσι κατακιρνᾶν χρὴ τὴν μοχθηρὰν κα-
κοχυμίαν, δι' εὐχύμου τροφῆς· κρεῖσσον δὲ γίνεται διὰ τε-
σις ἐπὶ μοχθηροῖς χυμοῖς ἀναποθεῖσι δυσεκνίπτως.
εἰς τοὺς χιτῶνας τῆς γαστρὸς ὧν ἄριστον βοήθημά ἐστιν ἡ πι-
κρά· ὀδυνωμένους δὲ ἐπὶ κραιπαλοῦσιν θερμότητος· ἀπὸ θε-
ραπ. χρυσέον ἐκ τῆς τῶν τυχόντων δυνάμεως γινομένη·
μετὰ δὲ ταῦτα τῶν πυρικοριτικῶν τε καὶ πεπτικῶν φαρ-
μάκων μιγνύναι χρὴ τοῖς ἀποκρουστικοῖς· εἶτα τῶν δια-
φορητικῶν τε καὶ λεπτυνόντων προσθετέον τῆς ἐπὶ
μετέωρα πυρετῶν γινομένης κεφαλαλγίας· ἰάματα
κωδιῶν ἐπιβροχαί· τοῖς δὲ ἐξ οἴνου κεφαλαλγοῦσι χρεία
κενώσεως· καὶ ὕπνος τε καὶ ἡσυχία· καὶ εἰς ἑσπέραν
λουτρὸν· καὶ τροφαῖς ταῖς εὐχύμοις μετὰ θερμαινούσαις

ϑ· Ἐπὶ δὲ τῶν διὰ κατάπτωσιν, ἢ πληγὴν κεφαλαλ-
γιῶν· ἐπειδὴ φλεγμονή τις συνίσταται, φλεβοτομίᾳ χρη-
στέον· εἰ δέ τι κωλύει διὰ κλυστῆρος τοῦ κενωτικοῦ ποιητέον.

## Περὶ κεφαλαλγίας.

ιϑ' Ἐπὶ τῆς κεφαλαλγίας, τὸ μὲν μετὰ βάρους ἄλγημα,
πλῆθος δηλοῖ· τὸ δὲ μετὰ δήξεως ἢ ἀτμῶν ἢ χυμῶν
δριμύτητα· τὸ δὲ μετὰ σφυγμοῦ φλεγμονήν· τὸ δὲ με-
τὰ τάσεως ἄνευ βάρους καὶ σφυγμοῦ· πνεύματος
ἀπέπτου δυσώδους πλῆθος ἐν τοῖς τῶν ὑμένων ἰσχό-
μενον· τὸ μέσον ἢ πλῆθος ἢ περιεχόμενον ἀτμῶν ἢ
χυμῶν· ἐπισκέπτεσθαι πότερον διὰ τὴν τοῦ μέρους
ἀρρωστίαν· ἢ διὰ τὴν ἐν παντὶ τῷ σώματι πλησμο-
νήν, ἵνα ἰασώμεθα τοῖς τοῦ ὅλου σώματος κενώσεσιν· τῶν
δὲ ἐπάθησαν τὰ τοῦ μορίου ἴασιν, τὸ μὲν παντὸς τοῦ
σώματος ἀντισπῶντα δὲ τοῖς τοῦ μέρους ἰάσε-
σιν.

## Περὶ ἡμικρανίας.

κ' Θεραπεύειν τις ἐπιχειρῶν ἡμικρανίας, ἐπισκεπτέ-
σθω πρότερον ὁποίας δεῖται καθάρσεως, ἢ φλεβοτο-
μίας δεομένων· εἶθ' οὕτως ἐπὶ τὰ τῆς κεφαλῆς αὐτῆς ἀ-
φικνούμενος βοηθήματα· διά τε τῶν δακτύλων τῆς
ἑαυτοῦ χειρός· καὶ διὰ σινδόνων ἀνατρίβων, τὸ ἥμι-
συ μέρος τοῦ μετώπου ἐκθερμαινέτω πρὸ τῶν προσχυσ-
μάτων ὡρῶν· μετὰ δὲ τὸν προσχυσμὸν τοῖς καλουμένοις
ἡμικρανικοῖς φαρμάκοις χρῆσθαι· θερμάσι δὲ πολλοῖς
ἐν ταῖς ὀδύναις αἰσθανομένοις τοῖς ἔχουσί τι ψυκτικόν· ἀ-
να δὲ ταύτης, τοῖς ἱκανῶς ἐκθερμαίνουσι· μεμίχθαι
δὲ καὶ τούτοις τῶν τονούντων τι σὺν πτισάνῃ ὄξους σμικρὸν τὸ
ἐμβεβλημένου βραχέος εὐφορβίου ὡς δρ. α' γ'' ς''.

## Πρὸς τοὺς κεφάλους· ἐκ τῶν Διοσκορίδου

κα' Στοιχάδος δ' ἀφέψημα· ἢ ὀξυμέλιτος δίδου πίνειν.

καὶ ἀπαλλάσσονται·

πρὸς σειριῶντα παιδία τοῦ αὐτοῦ·

Κατὰ τοῦ βρέγματος ἐπιτιθέναι χρὴ ἡλιοτροπίου φύλλα· κβ
κολοκύνθης ξέσματα· σικύου πέπονος τὸ περικεί-
μενον σαρκίδερμα· στρύχνου ἢ καὶ παιούλα φύλλα· τὸν
χυλὸν μετὰ ῥοδίνου·

Περὶ ἀλωπεκίας καὶ ὀφιάσεως·

Ἀφόρβιον μετὰ πάνυ θερμοῦ· ἢ τλουδαύτου θαψία· ἢ σί- κγ
ναπυ καὶ κάρδαμον· καὶ ἅλας καὶ τούτων ἐφεξῆς·
στρούθιον, καὶ ὁ τοῦ νίτρου ἀφρὸς· καὶ τὸ βερονίκιον·
καὶ ἐλλέβοροι ἀμφότεροι· καὶ δαφνίνον ἔλαιον· καὶ
τὰ ἀλκυόνια· καὶ ἡ ῥίζα τοῦ καλάμου καὶ ὁ φλοιὸς καυ-
θέντα ἄμφω· καὶ ἡ ὑγρὰ πίττη· ὄρνιθος στέαρ· τούτοις
κέχρησο τοῖς μὲν ἰσχυροῖς κηρωτὴν μιγνύς· τὰ δ᾽ ἀσθενῆ δα-
φνίνῳ ἐλαίῳ·

Περὶ ῥεουσῶν τριχῶν·

Οὔτε ἐπιγραφαθῆν· οὔτε πίνω κρεῖττον ἔσεσθαι φάρμακον κδ
ἐπὶ ῥεουσῶν τριχῶν, τοῦ μιχθέντος· ἔκ τε τοῦ λα-
δάνου καὶ τοῦ σχοινίου· εἰ δὲ πολλὴ ῥύσις εἴη δι᾽ ἀραιό-
τητα τοῦ δέρματος μεταλλῶν, οὐκ ἂν ἐπιτήδειον πρὸς τὰ
παρόντα· καὶ μύρσινον ἀντὶ σχοινίου μιγνύσθαι τοῦ
λαδάνου· πρόδηλον δὲ ὅτι προκιδᾶσθαι δεῖ ξυρεῖν τε
τῆς κεφαλῆς καὶ τῶν πολλῶν ἀφαιροῦσιν· τῶν ἐκ νόσου
ῥεουσῶν τριχῶν· τῆς ἀναληπτικῆς διαίτης ἐστὶ χρεία· λω-
τὸς ὁ τὸ δένδρον, ῥεούσας τὰς τρίχας ἐπέχει· καὶ ἀβρο-
τόνου ἡ τέφρα μετά τινος τῶν ἐλαίων τέγγειν προσκολ-
λᾶ· τῷ ἐκ νόσου ῥύσιν, ἴασθαι καὶ βέλη ξυρά· λωτὰ
μεθ᾽ ὕδατος καταπλασσομένη· ἢ λωτοῦ ῥίζα ὁμοίως
πρὸς τὸ μὴ ἀπορρεῖν τρίχας· ὁ ἔπαινος ὁ Γαληνός· λα-
δάνου ἀποβρέχειν ἐν οἴνῳ· λεαίνειν ἀλώξ, περιχέ

μύρσινον ἐλαίου καὶ οἴνου· ὡς ἐπὶ τῶν δ' ἐστὶ ἀδιάφορον
τὸ ἥμισυ μέτρον τοῦ λαδάνου προσβάλλειν· καὶ χρῆ-
σθαι μετὰ τοῦ μυρσίνου· ἢ μετὰ ναύτου ἐν πυρὶ καύτου
τρίχας φύεσθαι οὐκ ἐᾷ φύλλα λεπτὰ τριβὴ θεῖσα, καὶ ἐ-
πιπλάσσον τὸν τόπον· πρὸς δὲ τὰς ἐν τῶν ὀφρύων τρίχας,
κεδρίαν καύσας τῇ αἰθάλῃ καὶ ἐγχρῖσαι.

ὅσα λεπτυντικὰ τῶν τριχῶν:—

κε Κεῖται· κύαμοι· ὄρροβοι· ἀφρόνιτρον· νίτρον· τὰ δὲ ἐσφο-
δρότατα τὰ δὲ τῶν κεραμίδων τὰ ὄστρακα· καὶ τὰ
τοῦ κινναβάρου· κίσσηρις ἄκαυστος· ἀμμωνία· ἐλλέβορος·
βρυωνίας ἡ ῥίζα· καὶ ἡ τοῦ δρακοντίου· καὶ ἀριστολοχία
καὶ κάχρυ· ἃ ὡς δὴ ἄλλα ποιήσῃς βουλόμενος, μί-
ξεις κυπέρου καὶ μελιλώτου· καὶ ῥόδων· καὶ σχοίνου λ ξηρῶν
ἄνθος· ἴρεως τε καὶ στάχυος νάρδου τε καὶ τῆς ἰνδι-
κῆς· καὶ τῆς κελτικῆς· καὶ μαράθρου φύλλα καὶ ἀ-
μώμου· καὶ κόστου.

περὶ πιτυριάσεως.

κϛ Πιτυρίασις διὰ μοχθηροὺς γίνεται χυμούς· πρόδηλον
οὖν ὅτι δεῖ καθαρτικά τε καὶ ῥυπτικὰ προσάπτειν ἐ-
πὶ φάρμακα· πιτύρων χοίνικος ἥμισυ συμβρέξας ἐν
ὕδατι κοτύλας β· μετὰ δὲ ταῦτα ῥίψας καὶ διηθή-
σας τὸν χυλὸν ἕψησον σὺν ὄξους ἡμικοτυλίου, μέχρις
οὗ οἴνου πάχος λάβοι· καὶ τοῦτον τὴν κεφαλὴν ἀποσμή-
ξας εἶτα κλύζε ὕδατι, σεύτλου ἀφεψημένου ἢ τήλεως
ἢ θέρμων· χρίσμασι δὲ χρῶ ἰρίνου μύρου ἀποστάγματι·
τοῦτο τὸ φάρμακον διαφορητικόν ἐστιν ἀδήκτως· πρὸς
δὲ τὰς χρονίους πιτυριάσεις, χαλκάνθου θείου ἀπύ-
ρου· ἀφρονίτρου τὸ ἴσον οἴνῳ ἀναχύσας, ἀναλάμβανε
ἐλαίῳ σχινίνῳ· καὶ ποιήσας γλοιοῦ πάχος ἐπάλει-
φε ταῖς θριξίν:— πρὸς φθειρίασιν.

ταφίλος

Ταφίλου ἀλεξ μέρη δύο· σανδαράχης καὶ νίτρου ἀνὰ κζ
μέρος ἕν· σὺν ὄξει καὶ ἐλαίῳ ἄλειφε τὴν κεφαλήν·

πρὸς ἀχῶρας καὶ κηρία· πη

Ἐν δὲ τοῖς δέρμασι τῆς κεφαλῆς ταῦτα συνίσταται· λεπτοῖς
τρήμασι κατατετρημένου τοῦ δέρματος λεπτὴν καὶ ἀμυδρὰν ἔχει-
τος· τὸ δὲ κηρίον μείζονας ἔχει τὰς καρπώσεις· δῆλον οὖν ὅτι κι-
νεῖσθαι δεῖ τοὺς ἐργαζομένους τὸ πάθος χυμούς· οὐδὲ ἐπιρ-
ρέουσιν ἐξ ἀνάγκης εἰ κωλυθείη πρότερον τῶν ἐπιρροιῶν· τῇ τε τῆς κεφα-
λῆς κενώσει, πρὸς αὐτῆς ὅλου τοῦ σώματος· ὡς ἐπὶ τῶν ἀ-
λωπεκιῶν εἴρηκεν· ἁρμόσει δὲ τοπικὰ φάρμακα κατατε-
μνοντα· ἔνια μὲν οὖν τῶν φαρμάκων τοὺς ἀρχομένους ἰχῶ-
ρας ἰᾶται, ὅταν ἀπέριττον ᾖ τὸ ὅλον σῶμα, στυπτικὴν τε
καὶ ἀποκρουστικὴν ἔχοντα δύναμιν· οἷά ἐστι μυρσίνη τε
καὶ μύρτα· καὶ ὁ τῆς πίτυος φλοιός· βάτος τε καὶ σίκαμι-
νος· ἔνια δὲ ἀπηλλαγμένα μεταλλικὰ ἔχοντα τῶν ἀχώρων ἐνί-
σταται ταῖς αὐξήσεσιν· ἅμα μὲν ἀποκρουομένου τὸ ἐπιρρέον·
ἅμα δὲ καὶ συμπέττοντα καὶ διαφοροῦντα τὸ περιεχόμενον
μικτῆς οὖσα δυνάμεως· οἷον τό τε μύρσινον ἐστὶ καὶ τὸ ῥόδι-
νον· χῖνος τε καὶ κύπρος καὶ ἰφακή· ἔνια δὲ διαφορη-
τικῆς δυνάμεως ὄντα· καὶ στυπτικῆς ἀνὰ τοῖς δέρμασι αἰσθη-
τῆς· οἷόν ἐστι τὸ τευτλον καὶ ἡ κεκαυμένη μὲν· ἀλλὰ δὲ ἰσ-
χυρότερα ταῖς δυνάμεσιν ἐστὶν· ὡς καὶ τοὺς ὑπὸ παχέων κα-
ὶ γλίσχρων ἰχώρων γεγονότας ἀχῶρας δύνασθαι κενοῦν· ὁ-
ποῖον ἐστιν ἅλες· καὶ χαλκῖτις· καὶ ἡ κεκαυμένη τρὺξ τοῦ
οἴνου· καὶ ἡ σανδαράχη· καὶ ἡ καλαμίνθη· βέσος· τίτανος· καὶ αἱ
χολαὶ τῶν θερμῶν καὶ ξηρῶν ζώων· ὄξος δὲ ἐπιτηδειότατον
ἐστὶν ἐν παντὶ καιρῷ πρὸς ἀχῶρας τὸ δριμύτατον· τούτῳ γὰρ
δεόν ἄλλοτε ἄλλοτε τῶν μεταλλικῶν, ἰᾶσθαι τοὺς ἀχῶρας· ἐ-
ὰν δὲ φλεγμαινώδης ὁ ἰχὼρ ᾖ· δῆλον ὡς πρότερον τὸ φλεγμαί-
νον παύσεις τοῖς πρὸς τοῦτο λεγομένοις φαρμάκοις, εἶτα δὲ ἐπὶ

καὶ ἀπλᾶ τὰ δὲ μήκωνος ἀγρίας καὶ ὕσσωπον ἅμα τὰ φύλ-
λα λεῖα τρίψας μετ' οἴνου καταπλάσσε ἢ σπωραίαν σιδήρου·
καὶ ῥόδων τὸ ἴσον τρίψας μετ' οἴνου καταπλάσσε· ἔνιοι
ἀναλαμβάνουσι κηρωτῇ ῥοδίνῃ·

πρὸς τὰ τῆς κεφαλῆς ἑλκύδρια

κθ΄ μολιβδαίνης καὶ μήκωνος φύλλων τὸ ἴσον τρίψας μετ' αὐ-
τοῦ ἀναλάμβανε μυρσίνῳ ἐλαίῳ· ὥστε κηρωτῆς ἔχειν
τὸ πάχος· καὶ τοῦτο ὑπαλείφων χρῶ· ἄλλο.
καλαμίνθης ἁπαλῆς φύλλα· καὶ τιθυμάλου τὸ ἴσον τρίψ-
ας καὶ διαλύσας κηκίδων ἀφεψήματι ἀναλάμβανε μυρ-
σίνῳ ἐλαίῳ· ὥστε τοιοῦτον ἔχειν πάχος· καὶ χρῶ·

πρὸς δυσωδίαν κεφαλῆς.

λ΄ βαλάνου μυρεψικῆς ἀποπι καὶ νάρδου τρίβειν· ἐν τῷ
αὐτῷ πάχος ποιοῦν μύρῳ ἄλειφε· σμηξάμενος τὴν
κεφαλὴν μετ' οἴνου παλαιοῦ·

πρὸς τὰς τῆς ῥινὸς δυσωδίας·

λα΄ σμύρνης ἀκακίας· ἀμώμου ἀνὰ ζ καὶ τρίψας καὶ σήσας
ἀναλάμβανε μέλιτι ἑφθῷ· ἐκ τούτου κέλευε προσ-
κολλᾶσθαι τὰ ἄκρα τῆς ῥινὸς τῷ διαφράγματι·

πρὸς ἐκχυμώματα κεχρονισμένα.

λβ΄ ῥάφανον καταπλασσομένη ποιεῖ· ἀφαιρεῖ τὸ ὑπόξηρον
ξηραίνει δάκνουσα· ἢ ῥαφανίδα χυλῷ μετὰ τοῦ χυλοῦ καταπλάσσε·

πρὸς χείλη κατερρυγότα.

λγ΄ ᾠοῦ τὸ ἐντὸς ὑμένα ὡς ἀπλῆν ἐπιτίθει· τὸ αὐτὸ ποιεῖ
καὶ τὰ ἀράχνια τὰ ἐν τοῖς οἴκοις τὰ λευκά· τὰς δὲ βαθυ-
τέρας ἐπιρρήξεις, ἄλειφε στεατίῳ βοείῳ· ἢ αἰγείῳ·
ἢ μυελῷ βοείῳ· καὶ ῥητίνῃ·

πρὸς ἐφήλιδας πτίλους φακούς· ἐκ τῶν

λδ΄ Γαληνοῦ. ἀμπέλου ἀγρίας οἱ βότρυες ἐφήλεις
καὶ πτίλους· ὁ δὲ τοιαῦτα κατὰ τοῦ δέρματος ἐπιπολ-

γίνεται, θεραπεύουσιν αὐτὰ τὰ ἄλλα πικρά· ἐστὶν ἀποκα-
θαίρει· καὶ αἱ ῥίζαι τούτου τοῦ δένδρου ἑφθαὶ καταπλασσόμε-
ναι· κόστος πρὸς ἐφήλιν μεθ᾽ ὕδατος καὶ μέλιτος· κράμβη
προσέστη καὶ φακοῦ· ὁ τ᾽ ἄλλα σύνθημα τῆς συνθέσεως·
καὶ τὸ σηπίας ὄστρακον καυθέν, ταῦτα ποιεῖ:

περὶ ἰόνθων· ἐκ τῶν Γαληνοῦ·

Ὁ καλούμενος ἴονθος ὄγκος μικρὸς καὶ σκληρός ἐν τῷ κα- λθ
τὰ σχῆμα τοῦ προσώπου γίνεται· χρὴ οὖν ἐπ᾽ αὐτοῦ
φαρμάκων μαλαττόντων τε καὶ διαφορούντων· ἄλλο
Μέλιτος ἀττικοῦ κύαθος α· ὄξους δριμυτάτου τὸ ἴσον μί-
ξας ἐπιμελῶς ἀναλάμβανε τοῖς ... καὶ μαλάξας
ἐπιτίθει:

περὶ τῶν ἐπὶ γενείου σύκωσεων ἐπαναστάσεων· ἐκ τῶν λς
Γαληνοῦ· λιθαργύρου· μίσυος· ὁμοῦ τὸ ἴσον τρίψας κα-
ταπλάσσε: ἄλλο:
λιβάνου ʒ α· λιθαργύρου ʒ β· ἁλῶν ὀρυκτῶν ʒ α· λείους
καταπλάσσε:

πρὸς τὰς τῶν μασχαλῶν δυσωδίας:

Στυπτηρίας τρισμεγέθους δύο· σμύρνης μέτρον ἕν· οἴνῳ διαλύσας λζ
χρῶ· περὶ ὀφθαλμιῶν· ἐκ τῶν Γαληνοῦ·

Φλεγμονὴ τοῦ πρὸς ὀστέου τε καὶ πρὸς κρανίου καλουμένου χιτῶνος λη
ἐστὶν ἡ ὀφθαλμία· ἀποκρουστικὰ δὲ πρὸς ἀρχὴν πλεονεκτοῦ-
ντα φάρμακα τὰ μὴ βλάπτοντα· τουτέστι σφοδρὰν ἔχοντα
τὴν στῦψιν· ὡς τὸ πολὺ οὖν ἀρκεῖ τὸ λευκὸν τοῦ ᾠοῦ μετὰ
τῶν ἐπιτηδείων φαρμάκων εἰς θεραπείαν τῆς ὀφθαλμί-
ας τῶν καλουμένων μέτρων κολλυρίων· ἐπὶ τῆς ὑστεραίας τῶν κα-
λουμένων νάρδινων πρὸς ἀποκάθαρσιν καὶ τόνωσιν ἐ-
παλείφεσθαι· ἐφ᾽ ὧν ἐγὼ οὖν ἐπικρατεῖ τὰ ῥεύματα πλεῖ-
στον ἐναιδοκεῖ τὸ λευκὸν τοῦ ᾠοῦ· βραχύτατον δὲ τοῦ
φαρμάκου· ἐφ᾽ ὧν δὲ τὰ πεπτικὰ πλεονάζει· βραχύτα-
τον

παχυτέρῳ χρηστέον· πυρίᾳ δὲ χρηστέον διὰ σπόγγου μετρίως μὴ ὀδυνωμένους ἅπαξ ἢ δὶς τῆς ἡμέρας· ἐπὶ δὲ σκεφροτέρων ἄμεινόν ἐστι· καὶ δὶς καὶ τρὶς καὶ πλεονάκις χρῆσθαι. ἡ πυρία δὲ διὰ ἀφεψήματος γινέσθω μελιλώτου τε καὶ τήλεως.

## Περὶ τῶν ἐν ὀφθαλμοῖς φλεγμονῶν.

λθʹ Πλήθους μὲν ὑποκειμένου, φλεβοτομητέον· ἢ καθαρτέον· ἢ κλυστέον· ἢ ἀσιτίαν παραληπτέον· καὶ οὕτως ταῖς ὑποληπτέοις χρηστέον διὰ τῶν ὑποκρούεσθαι δυναμένων τὴν ἐπιφοράν. μὴ ὄντος δὲ τοῦ πλήθους, ἀλλὰ διάθεσιν μετρίαν περὶ τοὺς ὀφθαλμοὺς οὖσαν ῥευματικὴν φέροιτο· χρηστέον ἐν ἀρχῇ ὑπαλείφειν πραΰνοντας τὸν ἐρεθισμὸν τοῖς ὀφθαλμοῖς· καὶ τὸν ῥευματισμὸν στέλλοντα· οἷόν ἐστι τὸ ναλοῦ διάρροδον· καὶ τὸ μηκώνιον καὶ τὸ ναρδῖνον· ἐὰν δὲ περὶ τὴν κεφαλὴν μόνην πλεονάζῃ τὸ ὑγρὸν σφηνῶσαι οὔσης· σικύαις δὲ προσβαλεῖν τῷ ἰνίῳ· καὶ καταχαράττειν τὸ δέρμα· ἢ βδέλλας προσβάλλειν· καταπλάττειν δὲ τὸν ὀφθαλμὸν τοῖς περὶ τὸν κρόταφον τόποις, συνεψεστέρον τοῦ ᾠοῦ τὸ λευκὸν ἢ τῷ γάλακτι ἐγχυματίζειν· καὶ ἀποπραΰνειν διὰ τούτων τὰ ἀλγήματα· ἑφθῶν δὲ πυριάσας καὶ θερμόν ἐστι τὸ ῥεῦμα καὶ δριμὺ ἢ ἁλμυρόν, καταπλάσμασι χρῆσθαι τοῖσδε· ἄρτου καθαροῦ τὸ ἐντὸς βρέχειν ὕδατος· καὶ λεαίνων ὀλίγον ῥοδίνῳ προσμίγε καὶ ἐπιτίθει τῷ ἄνω βλεφάρῳ· ἢ κωδιῶν ἀφεψήματι πάλιν ἀλφίτων ἐνεχῶν καταπλασσέ ὀλίγον ῥόδινον παραμιγνύς. [illegible] δὲ τὰ βλέφαρα τῷ διὰ ῥόδων ἀφεψήματι κωδιῶν δ' ἴσ· παρακολλήμασι δὲ καὶ ἐπιχρίστοις χρηστέον ὅταν τὰ περὶ τὸ μέτωπον καὶ τοὺς κροτάφους ἀγγεῖα κυρτούμενα διατείνηται· τῆς δὲ ἐπιφορᾶς διὰ τῶν ἐν βάθει γινομένων ἀγγείων, ἀφεκτέον τούτων· ἐπὶ ἀπέπτων

ἢ [illegible]

ὑπῇ γενναία φλεγμονή, καθαρτηρίῳ κενοῦν ἀθρόως· καὶ
τὸ λουτρὸν ἐπιτήδειον τούτοις· ἐνδούσης τῆς φλεγμονῆς· κα-
ταπλάσμασί τε θερμοῖς κατὰ τὰς ἀρχὰς χρηστέον· παχέος
δ' ὄντος τοῦ τὴν ὀφθαλμίαν ποιοῦντος θεραπεύειν· πρὸ π-
άντων μὲν τὴν κοιλίαν εὔλυτον ποιοῦντα· τὰς ὑπαλείψεις δὲ φαρ-
μακώδεις μήτε ἐμπλάσσουσι μήτε παχύνουσι τὰ ὅσα ὑγρά·
ἀλλὰ διαχέειν τε καὶ ὑγραίνειν δυναμένοις· οἷόν ἐστι τὸ
χιάτινον· προσίεσθαι δὲ ἐπὶ τούτων τὰ ἀνώδυνα κα-
ταπότια· καὶ ὀσφραντά· καὶ καταπλάσματα· καὶ
προσέτι χρυσᾶ φάρμακα· θᾶττον δὲ λύουσιν αὐτούς· καὶ ὀρρ
γάλακτος διδόναι:—

## περὶ τῶν ἐν ὀφθαλμοῖς ὀδυνῶν· ἐκ τῶν Γαληνοῦ: με

Ὅταν ὀδύναι γίνωνται σφοδρότεραι κατὰ τοὺς ὀφθαλμούς
ἐπισκέπτου καθ' ἥντινα διάθεσιν ὀδυνᾶσθαι συμβαίνει τι-
τοὺς ἐν τῇ φλεγμονῇ· εἴτε γὰρ ἐπὶ τὸ δάκνεσθαι σφοδρῶς ὑπὸ
τῆς τῶν ἐπιρρεόντων δριμύτητος· ἢ διὰ τὸ τείνεσθαι πεπλη-
ρωμένους τοὺς χιτῶνας ἢ δι' ἔμφραξιν τινὰ παχέων ὑγρῶν ἢ
χυμῶν· ἢ πνευμάτων φυσωδῶν, ὀδύναι γίνονται κατ' αὐ-
τοὺς σφοδραί· τὰς μὲν οὖν δι' ἐξ ὧν διὰ τῶν καθαρτηρίων κενοῦν-
τας θεραπεύειν· καὶ τοῦ ὠοῦ τὸ ὑγρὸν ἐγχέοντες πεπεμ-
μένης τῆς φλεγμονῆς ἤδη· καὶ ἀπαθοῦς τοῦ σώματος ὄντος·
ἐπιτηδειότατον τούτοις ἐστὶ λουτρόν· τὰς δὲ ἐπὶ πληρώσει φλεγ-
μονάς, διά τε κενώσεως αἵματος· καὶ γαστρὸς ὑπαγωγῆς
καὶ τρίψεως τῶν κάτω μορίων, ἰᾶσθαι προσήκει· τὰ δὲ
ἐξ ἐμφράξεως προκενωθέντων τὸ πᾶν σῶμα· καὶ μηδὲν τοῖς
ἀνασπάσαντα κάτω τὴν ῥοπὴν τῶν χυμῶν· ἀξιοῦς αὐτὸ τὸ
τοπικῆς τοῖς διαφοροῦσι θεραπεύειν· πυριᾶς ἐν οἴνῳ αὐτούς·
καὶ τὰ τῆς τήλεως ἐγχυτέον ἀφεψήματα· ἐφ' ὧν δὲ ἡ ἐν-
στασις ἐστὶν ἐνστάσεις ἐστὶν αἵματος παχέος ἐν τοῖς τῶν
ὀφθαλμοῖς φλεβίοις· ἀνὰ πληθωρικῆς διαθέσεως· ἐν

ὅλῳ τῷ σώματι οἴνου χρῆσθαι πόσει· διὰ τὸ θερμαίνειν τε δυνα-
μένου· καὶ κενοῦν καὶ ἐμφράττειν·

Περὶ χημώσεως ἐκ τῶν Δημοσθένους.

μα Ὅταν ἐπὶ φλεγμονῆς ἰσχυρᾶς τὰ βλέφαρα ἐκστραφῇ, ὡς μόλις ὑπὸ τῶν βλεφάρων τοὺς ὀφθαλμοὺς καλύπτεσθαι, θεραπεύειν φλεβοτομίᾳ· καθαρτικὸν ἢ καὶ τὸ διὰ ῥόδων κολλυρίῳ μετὰ γάλακτος· ᾠοῦ τὸ λευκὸν περιχρίειν τὰ βλέφαρα· τὸ δ' αὐτὸ καὶ προσαφοῦσι καὶ μετὰ τῶ πα· κενουμένου ἢ τοῦ σώματος ἐπὶ πλέον ἐὰν ἀνέχωνται πυρίαν διὰ σπόγγων· καὶ καταπλάσμασι χρηστέον ἀλεύρῳ καθαρῷ· καὶ πάλιν ἀλφίτου ἐν ὑδρομελίτῃ ἑψημένῃ σὺν ἐχῶς ἄλλα σύν τε καταπλάσματα· καὶ σέριν ἢ καὶ στρύχνου μιγνύναι τῷ παντὶ τοῦ ἀλφίτου· κατ' ἀρχὰς μὲν μὴ ὑπαλείφεσθαι· ἀρκεῖ γὰρ μόνῳ τῷ ἐγχύματι τῷ μετὰ τοῦ γάλακτος· μετὰ δὲ τὴν τετάρτην ἡμέραν ταῖς πρὸς τὰς φλεγμονὰς χρῆσθαι μάλιστα τῷ διὰ ῥόδων· ἐνδούσης τε τῆς φλεγμονῆς· κενοῦν τε διὰ καθαρτηρίου καὶ ὑπαλείφειν τοῖς δριμυτέροις·

Περὶ φλυκταινῶν.

μβ Θεραπεύειν τὰς φλυκταίνας δεόντως· πρὸ πάντων μὲν φυλαττομένων πλείω· πταρμούς· θυμούς· κατοχὴν πνεύματος· συστέλλειν ἢ καὶ τὸ ποτὸν· καὶ τὸ σιτίον ὡς μάλιστα κενώσει ἢ χρῆσθαι μὴ δριμέσι κλύσμασι· καὶ διαιτᾶσθαι ἐν τόποις σκοτεινοῖς. τοὺς δὲ ἐπιδέσμους καὶ τὰ πτύσματα παραιτεῖσθαι δεῖ· καταπλάσμασι δὲ χρῆσθαι κουφοτάτοις· καὶ ὑποσύρουσι κολλύριον ἢ ἁρμόζει τοῦ νείλου διὰ ῥόδων, διὰ γάλακτος ἐγχεόμενον·

ἰ λίαν

Πρὸς τὰς ἐν ὀφθαλμοῖς φλυκταίνας.

μγ Τῶν διαφορητικῶν φαρμάκων χρῄζουσιν αἱ ὀφθαλμοῖς φλυκταῖναι αἱ μὲν οὖν πρόσφατοι· καὶ ἔτι φλεγμαί-

νουσαι

Τοῖς διὰ σμύρνης καὶ λιβανωτοῦ καὶ κρόκου καθίσταν-
ται· αἱ δὲ χρονιώτεραι διαφορητικωτέρων τι προσλαμ- ἢ καύλων
βάνουσι·

περὶ ἀνθρακώσεως. μδ΄

Κατ᾽ ἀρχὰς δὲ ἐκκενοῦν κλυστῆρι πρῶτον· εἶτα τῷ γάλακτι ἀ-
πέφθως συμμέτρως καθαίρειν· εἶτα σπόγγῳ πυριῶν-
τα καταπλάσσειν ἀλεύρῳ ὀροβίνῳ ἢ πυρίνῳ σὺν
μελικράτῳ ἑφθῷ· ἐνίοτε δὲ καὶ ἶριν λεπτὴν προσεμ-
πλάσσοντα· καὶ γάλακτι ἐγχυματίζειν τὸν ὀφθαλμόν· ἐὰν
δὲ νεμηθῇ τὰ ἕλκη, φακῷ καταπλάσσειν μετὰ μελιτος·
ἢ μήλων κυδωνίων ἑφθῶν· ἐπὶ πλέον δὲ νεμομένου, ἐλ-
αίας φύλλοις ἑφθοῖς, ἢ σιδίοις ἐν οἴνῳ ἑψημένοις λείοις·
ἐπὶ πᾶσι δὲ ἀθρόως τῆς νομῆς ἐσχάρας ἐκπεσούσης
διὰ τῆς ἐπιθέσεως τοῦ φαρμάκου τοῦ ἀρκεσομένου· καὶ κα-
θαρῶν τῶν ἑλκῶν γενομένων καταπλάσσειν λεκύθοις
ὀπταῖς λείαις μετὰ κρόκου καὶ μέλιτος· μέχρι κατουλώ-
σεως· τὸ δὲ φάρμακόν ἐστι τόδε· σποδίου ℥ α΄· κρόκου
ὀβολοὺς γ΄· λεάνας οἴνῳ ἀμιναίῳ ἕως ἂν ξηρανθῇ· ὁμοῦ
τε γλυκέος κρητικοῦ παλαιοῦ καὶ συλλεάνας ὑγρὸν ἀ-
νελοῦ εἰς πυξίδα κεραμίαν· καὶ ὑπάλειφε·

περὶ μυδριάσεως. με΄

Ὅταν ἡ κόρη τῷ μὲν χρώματι μηδὲν ἀλλοιοτέρα γένηται,
πλατυτέρα δὲ πολλῷ τοῦ κατὰ φύσιν· καὶ πολλῷ μὲν ὅλο-
σχερῶς ἐμποδίζει τὸ ὁρᾶν· ποτὲ δὲ καὶ τὰ ὁρώμενα
αὐτοῖς ἐπὶ πολὺ πάντα δοκεῖ μικρότερα εἶναι· θερα-
πεύειν δεῖ αὐτὴν φλεβοτομοῦντας αἵματος· ἢ καθαί-
ροντας· εἶτα μὴ· τὰς γοῦν ἐν τοῖς κανθοῖς διαιρεῖν φλέ-
βας· εἶτα σικύαν τῷ ἰνίῳ προσβάλλειν· καὶ θαλάσσῃ
προσαντλεῖν τὸ πρόσωπον καὶ τοὺς ὀφθαλμούς· ἢ μὴ πα-
ρείη θάλασσα, ἅλμῃ· ἢ ὀξυκράτῳ· φαρμάκοις δὲ χρη-
στέον, τοῖς πρὸς φλυκταίνας ἁρμόττουσι·

περὶ φθίσεως ὀφθαλμῶν καὶ ἀτροφίας

μς Φθίσις δέ ἐστι τῆς κόρης στενουμένης· καὶ ἀμαυροτέρας καὶ ῥυσοτέρας γινομένης· τὰ δὲ ὁρώμενα ἐπὶ τούτοις μείζονα φαίνεται· διαφέρει δὲ ἡ φθίσις τῆς ἀτροφίας τοῦτο· ἡ μὲν γὰρ φθίσις στενότερα τῶν κορῶν· ἡ δὲ ἀτροφία ὅλον τὸν ὀφθαλμὸν μικρότερον καὶ ταπεινότερον· θεραπεύειν δὲ τούτους χρὴ γυμνάζοντας τὰ ἄνω μέρη· καὶ τρίβοντας ἐπὶ μέρους τὴν κεφαλὴν καὶ τὸ πρόσωπον· καὶ τοὺς ὀφθαλμοὺς ἀραιοῦν τοῖς δριμυτέροις φαρμάκοις· οἷόν ἐστι τὸ ὑποκείμενον· ἀμμωνιακοῦ δραχ.· κροκομαγμάτος δραχ.· ἰοῦ δραχ.· λεάνας ἐν ὕδατι ἀναπλάσας χρῶ.

ποιε

περὶ νυκτάλωπος

μζ Νυκτάλωπα δὲ λέγουσιν, ὅταν συμβῇ τινὰς ἡμέραν βλέπειν· δυομένου δὲ ἡλίου, ἀμαυρότερον ὁρᾶν· νυκτὸς δὲ γινομένης, οὐδόλως ὁρᾶν· θεραπεύειν οὖν χρὴ τούτους κενοῦντας ἀπὸ ἀγκῶνος καὶ τῶν κανθῶν· καὶ ἑξῆς καθαίροντας· καὶ κενοῦντας κλύσμασι· δριμέσι· ἀποφλεγματίζειν κελεύοντες· καὶ πταρμοὺς κινεῖν· διδόναι δὲ πρὸ τροφῆς ὕσσωπον πίνειν· ἐὰν δὲ μὴ ὑπακούῃ, πάλιν σιλφίου διὰ τῆς σκαμμωνίας· καὶ καστορίου καθαρτικόν· ἐγχρίειν δὲ μέλιτι τῷ ἀπηφρισμένῳ· καὶ καμμύειν πιέζοντα καὶ συνάγοντα τὰ ταρσά· ἢ στυπτηρίας αἰγυπτίας κεκαυμένης, μέρη δύο· ἁλὸς ὀρυκτοῦ μέρος ἕν· λεάνας μετὰ μέλιτος ὑπάλειφε.

ἐκ τοῦ φ. περὶ γλαυκώματος καὶ ὑποχύσεως

μη Γλαύκωμα καὶ ὑπόχυμα οἱ μὲν ἀρχαῖοι, ἓν ᾤοντο εἶναι· οἱ δὲ ὕστερον τὰ μὲν γλαυκώματα τοῦ κρυσταλλοειδοῦς ὑγροῦ πάθος ἐνόμιζον· ξηραινομένου καὶ μεταβάλλοντος ἐκ τῆς οἰκείας χρόας πρὸς τὸ γλαυκόν· τὰ δὲ ὑποχύματα ὑγρῶν παρεμπτώσιν πηγνυμένων μεταξὺ τοῦ ῥαγοειδοῦς καὶ τοῦ κρυσταλλοειδοῦς· ἔστι δὲ πάντα τὰ γλαυκώματα ἀνίατα.

τοῦ κερατοειδοῦς

ex. Pau. lib. γ. c. κβ.

Τὰ δὲ ὑποχύματα ἴαται οὐ πάντα· θεραπεύειν δὲ τοὺς ὑ-
πὸ χύσει παραζομένου αἵματος ἀφαιρέσει ἀπ' ἀγκῶνος
καθαρόν καὶ καθαίρειν· καὶ κλύσμασι δριμυτέροις· καθάπερ διὰ τοῦ
κενταυρείου ἀφεψήματι ἢ σικύου πικροῦ, καὶ κοιλίας
λύσει συνεχέστερον· καὶ σικύας τῷ ἰνίῳ προσβάλλειν
μετὰ κατασχασμοῦ· δεῖ δὲ καὶ ὑδροποτεῖν πρὸ τῶν
κώθαιζων· καὶ χρῆσθαι ῥοφαῖς λεπτυνούσαις· σιτίοις
δὲ χρόνου διελθόντος· καὶ ἀποφλεγματισμὸν διά τινων
ἱμαζῶν· φαρμάκοις δὲ χρηστέον, τὸ μὲν πρῶτον ἁπαλοῖς·
καθάπερ μέλιτι καὶ ἐλαίῳ, καὶ μαράθρου χυλόν· ὕστερον
~~ὕστερον~~ δὲ καὶ τοῖς συνθέτοις, οἷά ἐστι τόδε· Σαγαπηνοῦ
< β΄ ὀποῦ κυρηναϊκοῦ· ἐλλεβόρου λευκοῦ, ἀνὰ ∠ ϛ΄· πη-
γάνου ἀγρίου γ α΄· ἀφρονίτρου ∠ ϛ΄· οἱ δὲ ε΄· μέλιτος κοχλι-
άρια ὀκτώ· ἢ χυλοῦ χαμαίδρυος· κηροῦ ἀπόδυο ἑκάστου ἴ-
σον λεάνας ποίει κολλύρια.

Περὶ ἀμαυρώσεως καὶ ἀμβλυωπίας.

Ἀμαύρωσίς ἐστιν ὡς ἐπὶ τὸ πολὺ παρεμποδισμοῦς παντε-
λὴς τοῦ ὁρᾶν χωρὶς σφαλεροῦ πάθους περὶ τὸν ὀφθαλμόν. μετ
ἀμβλυωπία δὲ ἀμυδροτέρως τοῦ ὁρᾶν ὑπό τινος ἀδήλου αἰ-
τίας γινομένη. θεραπεία δὲ ἁρμόζει κοινὴ πᾶσι τοῖς ἀμαυρω-
θεῖσιν ἀμφοτέρας ὄψεις· ἀπ' ἀγκῶνος φλεβοτομία καὶ ἀπὸ
κανθῶν κένωσις· ἔπειτα παρακεντῆσαι ὕδρα ἐπὶ τοὺς καὶ
τὰ τόπους διὰ κατασχασμάτων· μετὰ ταῦτα δὲ καὶ σικύαν
προσβάλλειν ἰνίῳ· καὶ βδέλλας τοῖς κροτάφοις· καὶ τρί-
βεσθαι τὰ κάτω μέρη· ὑδροποτεῖν τε καὶ ῥοφαῖς εὐδιαφο-
ρήτοις χρῆσθαι· προϊόντος δὲ τοῦ χρόνου· καὶ τοῖς παρμιγμένοις
χρηστέον καὶ νήστεσιν ἐμέτοις· καὶ ὑπαλείφεσι· τὸ μὲν πρῶτον
διὰ τοῦ μέλιτος καὶ ἐλαίου ἴσον· ἔπειτα τῷ ὑπογεγραμμένῳ
συνθέτῳ· ὀβολοὺς ... χολῆς ὑαίνης γ α΄· πεπέρεως κοινοῦ·
πεπέρεως νορδίνου· μαλαβάθρου χυλοῦ ἀνὰ ∠ ιϛ΄· ἀμμωνια-
κοῦ

θυμιάματος γ α· ἰοῦ γ α· μέλιτος κο ς· λεῖα πάντα ποι-
ήσας ἐπίχεε τοῦ μαράθρου τὸν χυλόν· ἐπὶ ἡμέρας λ ἐάσας
ἀναξήρανον· καὶ τότε τὸ μέλι μίξας· καὶ ἀναλαβόμενος
εἰς πυξίδα χαλκῆν χρῶ· πρὸ δὲ τοῦ ἐγχρίειν ἀπὸ πυρὶ
ἀποσπόγγιζε τοὺς ὀφθαλμούς· εἰς τὴν θερμὴν θάλασσαν
βάπτων.

περὶ στραβισμοῦ.

ν Αἱ ἐκ γενετῆς στραβότητες θεραπεύονται προσωπείου περι-
θέσει· ὅπως εἰς τὸ αὐτὸ βλέπωσι· καὶ τοῦ λύχνου δὲ τιθε-
μένου ἀντικρύ· καὶ μὴ ἐκ πλαγίου παρεμφαινομένου·
καὶ ὅταν ἔτι πρὸς τὴν ῥῖνα ~~συνάγουσι~~ τοὺς ὀφθαλμοὺς κρο- ἢ συνάγουσι
κίνῳ φοινικῷ παρακολλᾶν· καὶ τοῖς πρὸς τοὺς κροτάφους
κανθοῖς· ὅπως πρὸς ταύτας ἀποτενίζοντες διορθῶσι τοὺς
ὀφθαλμούς.

περὶ ἐκπιεσμοῦ.

να Ἐκπιέζονται οἱ ὀφθαλμοὶ ἐνίοτε ὥστε δ' ἀμένειν ἐξέχοντας· τοῦτο δὲ
ἐξ οἰκείων ὑπάρχοντα ἐκπιεσθέντας ὑπ' ἀγκῶνος φλεβοτομεῖν·
εἰ δ' ἄλλως γένοιτο, φαρμακεύειν ἐλλεβόρῳ μέλανι· ἢ σκαμ-
μωνίᾳ· ταῖς δ' ἐκ τῶν ὀδυνῶν ἐκθλίψεσι τῶν ὀφθαλμῶν· πολλάκις
μὲν καὶ αὐτοῖς τοῖς τόκοις· ἐπιγενόμεναι καθαρῶς λύουσιν· ὅθεν
δέον δὲ γίνεσθαι ταύταις ἐπὶ τῶν ἀνδρῶν μετὰ τὴν φλεβοτομίαν
εἰ μὴ καταστασαίη, σικύαν ἰνίῳ προσβάλλειν· ἐπιτιθέ-
ναι δ' ἐρίου μετὰ τὸ κεχρισμένον κροκίνῳ μετὰ ὕδατος ἀνωθοῦν-
τε πλῦμα ἐπίδεσιν ἔχει· συμφέρει δὲ τούτοις καὶ θάλασσα
ψυχρὰ προσαντλουμένη τῷ προσώπῳ· καὶ σέρεως χυλὸς
καὶ πολυγονίου μετὰ μηκωνίου ἐπεγχριόμενον· καὶ τὰ ἄλλα
ὅσα δύναται στέλλειν καὶ συνάγειν.

περὶ συγχύσεως.

Ταῖς μὲν ἐκ πληγῆς συγχύσεσι φλεβοτομία τε ἁρμόζει· καὶ
αἵματος νεοσφαγοῦς· μάλιστα δὲ τρυγόνος· εἰ δὲ μή γε
περιστερᾶς ἐκπληροῦν ὅλον τὸν ὀφθαλμόν· εἶτα ἐπιτιθέ-
ναι ἔριον μαλακὸν βρέξαντα εἰς ᾠὸν ἀνακεκομμένον

μετοίνου· καὶ ῥοδίνου· καὶ ἐπὶ τούτων τῇ ἑξῆς τὰ αὐτὰ
ποιοῦν· καὶ τῇ τρίτῃ ἀποπυρίαν· καὶ τὰ λοιπὰ ἔτι χυλοῖς τι-
σιν· καὶ κατὰ πλάτει τοῖς ἐπιτηδείοις· εἶτα ἐπαλείφειν τοῖς
πρὸς τὰς παλαιὰς διαθέσεις· οἷόν ἐστι τὸ χιακόν·

περὶ μυωπιάσεως νγ'

μυωπίαι λέγονται, οἱ ἐκ γενετῆς τὰ μὲν ἐγγὺς βλέποντες· τὰ
δὲ ἐξ ἀποστάσεως οὐχ ὁρῶντες· ἀνίατος δέ ἐστιν ἡ τοιαύτη δι-
άθεσις· ἐναντία ὑπάρχουσιν οἱ γηρῶντες τοῖς μύωψι· τὰ
γὰρ ἐγγὺς μὴ ὁρῶντες τὰ πόρρω βλέπουσι·

περὶ δακρυρροούντων νδ'

ἐπαλείφειν δεῖ τοὺς δακρυρροοῦντας τοῖς ἐμπλαστικοῖς καὶ ψύ-
χουσι· καὶ στύφουσι φαρμάκοις· καὶ προσκλύζεσθαι τῷ ὀ-
ξυκράτῳ·

περὶ ἐγκανθίδων νε'

Ἐγκανθὶς δέ ἐστι σαρκὸς αὔξησις, ἐν τῷ τοῦ μεγάλου κανθοῦ
γινομένη τοῦ τόπου ἑλκωθέντος· ἡ μὲν οὖν ἀκακοή-
θης μᾶλλον σκληρά· ἀνώδυνος· ἡ δὲ κακοήθης πόνους
ἔχουσα· δεῖ δὲ τὰς κακοήθεις ἀπαγορεύειν· τὰς δὲ μὴ
κακοήθεις θεραπεύειν· τὰς μὲν μικρὰς φαρμάκοις ξη-
ροῖς· ὡς τὸ διὰ χαλκίτεως καὶ καδμία τωρινά· τὰς δὲ μεί-
ζονας τῇ χειρουργίᾳ·

περὶ φθειριάσεως

θεραπεύειν χρὴ τούτους πρότερον ἐκκαθαίροντα τὰς νϛ'
φθεῖρας· εἶτα θαλάσσῃ προσκλύζοντας χλιαρᾷ· εἶτα προ-
σαπτομένους τῷ τόπῳ τῶν ὑπογεγραμμένων φαρμάκων
στυπτηρίας σχιστῆς μέρη δύο· σταφίδος ἀγρίας μέρος· λείοις
χρῶ· περὶ ἐμπεφραγμένων τῶν χολήρων· ἐν
τῶν ἐχίτωνου·

ὅταν ἐμπεφραγμένος ὁ τοῦ χολὴρ τύχῃ σαφοῦς ἐν ταὐτῷ τά- νζ'
ρος τινάξαι τὴν κοιλίαν πρότερον πειρᾶσθαι· εἶτα

προσαγέσθω βδέλλιον κατὰ τῆς ῥινὸς μετὰ τὴν ε΄ ἢ τὴν ἡ-
μέραν σπλήνιον ἀπὸ τοῦ μεσοφρύου ἄχρι τοῦ μυκτῆρος
καταλειφέσθω τοῦτο τῆς ῥινὸς τὸ μέρος τῶν διαφορεῖν ἐ-
παγγελλομένων ἐμπλάστρων· ἡ μέντοι τε ἡ χρῆσις γε-
νέσθω· μετὰ ταῦτα τῆς διαλούσης πικρᾶς ὑπαχθείσης τῆς
κοιλίας τῇ ἑτέρᾳ τῇ διὰ τῆς κολοκυνθίδος· εἶτα ἀποφλεγ-
ματισμῷ χρηστέον· καὶ μετὰ ταῦτα μαλάσσοντι φαρ-
μάκῳ τὴν ῥῖνα περιβλητέον καὶ τὸ μέτωπον· εἶτα πταρ-
μικοῖς χρηστέον· καὶ μετὰ τοῦτο σιναπισμῷ τὴν κεφα-
λὴν ἄχρι μετώπου· καὶ ἀπολαυστέον· καὶ ὀσφραντὸν
προσαγέσθω καστορίου ὄξει πεφυραμένον μετὰ ὅλους
πταρμοὺς τούτους εἰ ἔτι τινὸς δέοι παραληπτέον καὶ ἀ-
πὸ τῶν ῥαφανίδων ἔμετος δι' ὀξυμέλιτι δεδευμένος·
τῇ ἑξῆς ἀψινθίου χυλοῦ δόσον κοχλιαρίου ἥμισυ χρή-
σιμοις προποτίσθη· ἢ ὕσσωπον· ἢ ζατοριγάνου· ἁρ-
μόσει δὲ καὶ μαλάγματα· ἐπίθεσις ἕως ὅλου κορυφώσι
τοῦ θους· ταῦτα καὶ τοῖς καὶ πλεονάκις πρακτέον πρὸς
τὰς ἀποθέσεις διαθέσεις:—

## Περὶ τῶν ἀπαγχομένων· ἐκ τῶν Θεοφράστου.

νη΄ Τῶν ἀπαγχομένων ἀνάκλησις γίνεται, ὄξους ἐγχύσει
καὶ πτερίσου· ἢ κνίδης καὶ σπασμένου ὄξει ζίφθεν ... μυ-
κτῆρι· καὶ καθιεμένῳ ἀέρι τῷδε ὡς ἢ κατὰ δέχονται· ἀλλὰ
καταμωάζονται· διαλυομένων δὲ τῶν περὶ τοὺς τράχηλον
ἐρυθημάτων· αὐθις ἀναβλέπουσι καὶ ἀνίστανται· σχε-
δὸν δὲ τὶ παραπλήσιον αὐτῶν τὸ ἀνακαλεῖσθαι καὶ ναυ-
αγῶν· καὶ ὅλως τῶν ἐκπνιγομένων ἀναζωπυρεῖται

Τέλος σὺν θεῷ τοῦ
ὀγδόου τούτων λόγου
τόμου
μ΄

# Περὶ τοῦ θ' λόγου. + ζήτει ἓν κεφ. ἐν τῷ ς' λόγῳ

α Περὶ αἵματος ἀναγωγῆς ἐκ θώρακος. β' Περὶ
ἀναγωγῆς αἵματος. γ' περὶ ἐμπύων.
δ περὶ φθίσεως. ε' περὶ ἀσθματικῶν. ς' περὶ
πνευμόνων καρδίας. ζ' περὶ πλευρίτιδος.
η πρὸς πλευρῶν ὀδύνας. θ' περὶ πλευρίτιδος.
ι πρὸς πλευρᾶς ὀδύνας. ια' περὶ κυνώδους ὀρέξε-
ως. ιβ' περὶ γαστρὸς πνευματουμένης.
ιγ περὶ γαστρὸς παρὰ φύσιν ῥεούσης. ιδ' τεινεσμοῦ
θεραπείας. ιε' δυσεντερίας ἴασις. ις' πρὸς
δυσεντερικοὺς ἢ κοιλιακούς. ιζ' περὶ εἰλεοῦ.
ιη ἕδρας θεραπεία. ιθ' περὶ τῶν ἐν ἥπατι παθῶν.
κ περὶ ἥπατος ἀτονίας. κα' περὶ ἥπατος σκίρρου.
κβ περὶ καχεξίας. κγ' περὶ ὑδέρου. κδ' περὶ σπλη-
νός. κε' περὶ τῶν ἐν νεφροῖς καὶ κύστει παθῶν.
κς περὶ σκληρίας νεφρῶν. κζ' περὶ ἀτονίας νεφρῶν.
κη περὶ ψωριάσεως κύστεως. κθ' περὶ φλεγμονῆς κύστεως.
περὶ ῥήξεως ἀγγείων κύστεως. λ' περὶ διαβήτου θε-
ραπείας. λα' περὶ διαβήτου πάλιν. λβ' περὶ
τῶν ἐν αἰδοίοις καὶ ἕδρᾳ ἑλκῶν. λγ' περὶ τῆς θήλεος δι-
δύμους καὶ αἰδοίου διαθέσεως. λδ' περὶ γονορροίας.
λε περὶ ὀνειρωγμῶν. λς' περὶ πριαπισμοῦ. λη' περὶ
αἱμορροΐδων. λθ' περὶ τὰς ἐκ τῆς ὑστέρας διαθέσεις.
μ περὶ ὑπερκαθάρσεως ἐμμήνων. μα' περὶ κυϊσκομέναις
θεραπεία. μβ' ὕπνου θεραπεία.
μγ ἐκ τῶν Φιλουμένου περὶ ὑστέρας πνιγμῶν. μδ' περὶ
γυναικείου ῥοῦ. με' πρὸς ῥοῦν τῶν γυναικῶν ὁ κα-
τὰ. μς' περὶ φλεγμονῆς ὑστέρας.

μζ περὶ τῶν ἐν μήτρᾳ ἀποστημάτων · μη περὶ τῶν

ἐν μήτρᾳ καρ

κίνω

μα-

-των

μθ περὶ ῥαγάδων

ἐν μήτρᾳ

ν περὶ φιμώσεως

ἐν ὑστέρᾳ

να περὶ φίμου ἐμ

πλευμα

τώσεως μήτρ(ας)

νβ περὶ προ

πτώσεως ὑστέρ(ας)·

ζήτει τὸ πο

σαγρασίαχιουθε

ραπεία

νγ πρὸς ποδαγρικοὺς

προφυλακ-

τικόν · πρὸς νδ

ἰσχιαδι

κούς·

## Περὶ αἵματος ἀναγωγῆς ἐκ καταρρου.

Τοὺς δὲ ἐπὶ καταρρῳ πτύοντας αἷμα, φλεβοτομεῖν εὐθὺς α
ἐν ἀρχαῖς· ἢ κλύσματι δριμεῖ χρῆσθαι· εἶτα τρίψας τὰ σκέ-
λη καὶ τὰς χεῖρας, ὕδρας ἐπιπλάσσειν ἅμα φαρμάκῳ θερμαί-
νοντι· καὶ διαναπαύσας· ξυρήσας τε τὴν κεφαλήν· ἐπιθεῖ-
ναι τὸ διὰ τῆς κόπρου τῶν αἰγείων περιστερῶν φάρμακον. ἴσ. ἀλ.
ἀφρῶν τε ὀρνίθων μετὰ ξυγγινομένων· ἄχρι ἐπὶ τὸ βαλανεῖον· καὶ
λοῦε ἀνὰ τοῦ ταῦτα ἐκλείπους τῆς κεφαλῆς· εἶτα σκέπασον
πίλῳ αὐτὴν πιλίῳ συμμέτρῳ· τρέφε δὲ ῥοφήμασι μόνοις αὐστηρῶν
ὀπωρῶν ἐχόντων· εἶτα ὕπνου μέλλοντος δίδου τὸ διὰ τῶν ἐχιδνῶν ἀν-
τιδότου φάρμακον νεωστὶ κατεσκευασμένον· καὶ διὰ τὴν δευτέραν
ἡμέραν τὰ ἄλλα πάντα τοῦ σώματος τρίψας καλῶς, πλὴν
κεφαλῆς· καὶ ἐν ἡσυχίᾳ φυλάξας. αὖθις δὲ ἑσπέραν δίδου
τὸ διὰ τῶν ἐχιδνῶν φάρμακον· παυσαμένου δὲ ἐπὶ τούτῳ τοῦ
καταρρου, τῇ ἑξῆς τῶν ἡμερῶν ἕωθεν δίδου μέλιτος ἑψη-
μένου μικρόν· ἐφ' ἡσυχίας τε φύλαττε· καὶ πᾶν ἀποτρί-
βεσθαι σῶμα· τρόφιμον δὲ δίδου πτισάνης χυλὸν σὺν ἄρ-
τῳ βραχεῖ· κατὰ τὴν τετάρτην τῶν ἡμερῶν· ἕως δὲ τῆς
τοῦ διὰ ἐχιδνῶν φαρμάκου διδόναι ἅμα συχνῷ μέλιτι·
τῇ κεφαλῇ τοῦ αὐτοῦ φαρμάκου πάλιν ἐπιθείς· εἶτα
λούσας καὶ θρέψας μετρίως ἐν ~~καθ αἱ~~λοι πόνοις φοδρότεροι κάθαιρε
τὸν πνεύμονα τῇ πέμπτῃ τῶν ἡμερῶν· εἶτα αὖθις ἐν δια-
λείμμασι τῶν χρόνων κατὰ τῆς κεφαλῆς· τὸ σίναπι θὲς κηρωτῆς.
διὰ θαψίας· τὴν δὲ ὕλην τοῦ σώματος ἐπιμελεῖ ἀναθρεπ-
τικῇ ποιοῦ· τοὺς δὲ ἐπὶ τῇ ῥήξει τῶν ἀναπνευστικῶν ὀργάνων
πτύοντας αἷμα ~~πτύοντας~~, φλεβοτομεῖν ὅσον παραχρῆμα· ἐπαφαι-
ρεῖν δὲ δὶς κατὰ τὴν αὐτὴν ἡμέραν καὶ κατὰ τὴν ὑστεραίαν
ὁμοίως δίς· εἶτα τρίψαι τὰ κῶλα· καὶ δεσμῷ ἐν τῇ πρώτῃ
χρῆσθαι μέτρως· ἔπειτα ἀναδώσεις τὸ διὰ σπέρματος· ἐν τῇ

διάστημα μετὰ τὴν ἀφαίρεσιν ἐπιτιθέσθω πάλιν τῷ θώρακι τῆς διὰ θαψίας κηρωτῆς ἔλαττον, ἄρας αὐτὴν ἐς ἑσπέραν ὅπως μὴ θερμανθῇ πλεῖον τοῦ προσήκοντος, ἐπὶ τὴν πάλιν ἐπιθεὶς, ὥραις που τρισὶ λουέτω τὸν ἄνθρωπον. καὶ τρεφέσθω ταῖς ἐφεξῆς ἡμέραις ῥοφήμασι. τῇ τρίτῃ ἢ πρὸς τῷ χυλῷ τῆς πτισάνης δίδου καὶ ἰχθύων τινὰ τῶν εὐπέπτων ἁπλῶς ἠρτυμένων. δίδου ἢ ὁμοίως εἰς ἑσπέραν διὰ τῶν σπερμάτων φαρμάκου, ἐν τῇ δευτέρᾳ καὶ τῇ τρίτῃ τῶν ἡμερῶν. ὑπνωποιὸν γάρ ἐστι καὶ ἀνώδυνον καὶ ξηρόν. ἤδη οὖν τῶν τε μορίων ἀκραιφνῶν γινομένων καὶ τῆς φλεγμονῆς παυσαμένης, ἀνακαθαίρειν ἐπιτεταμένων σπουδῇ. καὶ μετὰ τοῦτο χρῆσθαι τῷ διὰ χελιδόνων φαρμάκῳ μετὰ τῆς τε γλυκυποσίας καὶ τῆς ἄλλης τροφῆς δεόντως ἂν χρῆσθαι. οὐ μὴν τούς γε μετὰ δύο ἡμέρας ἢ τρεῖς ἀπαντῶντας· ἀλλ' ἐνίοτε αὐτῶν τινα ἀνίατον ἔχοντα τὸ ἕλκος. χαλεπώτερον γὰρ τῶν ἰᾶσθαι τὰ ἐν τῷ πνεύμονι συνισταμένα τῶν ἑλκῶν. καὶ χρὴ πρὸ ἀποχρήματα τέμνειν τὴν ἐν ἀγκῶνι φλέβα τὴν ἔνδον. ἀφαιρεῖν τὸ δίς που ἢ καὶ τρὶς ἐκ βαθεῖν τε καὶ διαλαμβάνειν ὅλα τὰ κῶλα δεσμοῖς. ἐπειδὰν δὴ ταῦτα πραχθῇ, πρῶτον μὲν ὀξύκρατον ὑδαρές τε χλιαρὸν διδόναι πίνειν, ὅπως εἴ τις εἴη θρόμβος ἐν τῷ σπλάγχνῳ διαλυθεὶς ἐκβληθείη. καὶ τοῦτο οὐδὲν κωλύει καὶ δὶς καὶ τρὶς ἐργάζεσθαι. μετὰ δὲ ταῦτα διδόναι τῶν ἐμπλαττόντων τε ἅμα καὶ στυφόντων φαρμάκων, ἤτοι δι' ὑδαροῦς ὀξυκράτου τὴν πρώτην, ἢ διὰ ἀφεψήματος μήλων ἢ μύρτων, ἤ τινος ἄλλου τῶν στυπτικῶν. εἰς ἑσπέραν τε πάλιν ὁμοίως διδόναι τὸ φάρμακον, εἴργοντα πάσης τροφῆς. κάλλιστον δὲ καὶ τὴν ὑστεραίαν ἀφαιρεῖν αὖθις ὀλίγον καὶ τροφαῖς καὶ φαρμάκοις ὁμοίως χρῆσθαι μέχρι τετάρτης ἡμέρας. καὶ βρέχοντα κύκλῳ τὸν θώρακα, θέρους μὲν μηλίνῳ ῥοδίνῳ, χειμῶνος δὲ νάρδῳ. χρῶ δὲ καὶ αὐτοῦ καὶ τοῖς ἐμπλαστικοῖς

φαρμάκοις

φαρμάκοις· οἷα ἐστὶ τὰ διὰ ἀσφάλτου καὶ ὄξους· μόνοι δὲ ἀν-
ιάτως μοι δοκοῦσιν ἔχειν, οἱ διὰ κακοχυμίαν ἀναβρωθέντες.

## Περὶ ἀναγωγῆς αἵματος.

Ὁ πρῶτος κίνδυνος ἐστὶ, τῆς τοῦ αἵματος ἀναγωγῆς· κατὰ αὐτὴν
τὴν ἄμετρον κένωσιν· βοηθεῖν οὖν ἐκ τοῦ παραυτίκα
τοῖς πάσχουσι, δυνήσῃ διὰ τῶν ὑπογεγραμμένων· τὴν
γὰρ ὅλην διάθεσιν ἰατρῶν ἔργον θεάσασθαι. ἀνδράχνη
ἐσθιομένη ποιεῖ· δραστικώτερος ὁ χυλὸς αὐτῆς πινόμενος·
βαλαυστίου βάτου ὁ καρπὸς καὶ τὸ ἄνθος πινόμενος· ῥοῦς
τοῦ μενάδας· καὶ τὰ ἀπὸ φλοιῶν τοῦ πρέμνου· μάλιστα καὶ
ἑψῶντες αὐτὰ χρῶνται φύλλα καὶ πρέμνου· δραστικώτερον ἀλ-
θαίας τῆς ῥίζης ἀφέψημα· ἡδύοσμον πρὸς τὰς προσφάτους·
κενταυρίου τοῦ μεγάλου δραχμὰς β´· δίδοναι τοῖς πυρέσσουσι μεθ' ὕ-
δατος· τοῖς δὲ ἀπυρέτοις· μετ' οἴνου· ῥίζου σχίνου τῶν φύλλων
ὁ φλοιός· σύμφυτον ἄριστον πρὸς πάντα ὁμοίως· καὶ λημνία
σφραγίς· πρὸς δὲ αἵματος θρομβώσεις ποιεῖ· καὶ μάλι-
στα κηλατῶα πιτύα ποθέντα· διάχυσιν δὲ καὶ θρομβούσης ἡ
ἡ συνήθη κονία μεθ' ὕδατος ποθεῖσα· καὶ θύμος· καὶ
θύμβρα μετ' ὄξους.

## Περὶ ἐμπύων ἐκ τοῦ Γαληνοῦ.

Ἐμπύους καλοῦσι τοὺς κατὰ θώρακα· καὶ πνεύμονα πύον ἀ-
θρόως ἔχοντα παρεγχυθὲν ἢ μετὰ ῥῆξιν ἐν τῷ μεταξὺ θώρακο-
ς τε καὶ πνεύμονος χώρᾳ τὸ πύον· ὅπερ εἰ μὴ διὰ ταχέων ἀνα-
πτυσθῇ, φθινώδεις ἀποτελοῦνται· πυρέττουσι δὲ λεπ-
τῶς ἐκτικὸν πυρετόν· ῥήγνυται δὲ τὸ πύον· τὸ μὲν ἄνω τὸ
δὲ κάτω· καὶ τὰ κάτω, τὸ μὲν εἰς κοιλίαν καὶ ἔντερον μετα-
λαμβάνεται· τὸ δὲ εἰς κύστιν τῆς μεταλήψεως διὰ τῶν ἀγγεί-
ων τινῶν γινομένης· ὅταν δὲ ἄνω ῥήγνυται κίνδυνος ὁρα
ἐστί· δεῖ δὲ πρῶτον μετὰ τὴν πέψιν τοῦ ἐμπυήματος σιωπᾶν·
διά τε σπόγγων πυριῶντας καὶ κατὰ πλάσματα προσάγοντας,

Δ ἀπαθὲς πλευρὸν καὶ λι. ζ. c. λβ.
□ ταριχοφαγία καὶ

ἐξ ἀλεύρων κριθῆς προσμιγνυμένων· καὶ ἰσχάδων ἑφθ.
ὀλίγου ἢ ῥητίνης καὶ περιστερᾶς κόπρου· καὶ νίτρου· καὶ
ἀβρότονον· ταῦτα γὰρ λεπτύνει· καὶ διαφορεῖ· συνεργεῖ δὲ
τῇ ῥήξει καὶ ἡ ἐπὶ τὸ (ἀληθὲς λευκὸν) κατάκλισις· καταρροφή-
τωσαν ἢ ἐκλείγματα τῶν μελικράτων καὶ χυλὸν πτισάνης με-
τὰ μέλιτος· οἱ δ' αὐτῶν ἰσχυρότεροι πολὺ ἐσθιέτωσαν ὕσσωπον· ἢ θύμον.
συνεργεῖ δὲ πρὸς τὴν ῥῆξιν καὶ (ταριχοφαγία) καὶ τῆς διακω-
δωνίου θύμου ἱερᾶς κατὰ πόσιν πρὸς κοτύλην λαμβανόμενα·
ἀρξαμένου δὲ ἐκκρίνεσθαι τοῦ πύου, διδόναι ὕσσωπον·
ἐν μελικράτῳ καὶ ἐλαίῳ ἑψηθέντα· εὐαναπτυστοτέρου δὲ
τῆς ἑλκώσεως οὔσης· μελικράτῳ συνεχέστερον χρηστέον· ἐν-
αψημένῳ δυοῖν ἢ τριῶν ἀστραγάλων ˣ μελικράτῳ συνεχέστε- ˣ ἐρίφων
ρον χρηστέον· ἐναψημένῳ δυοῖν ἢ τριῶν ἀστραγάλων ὑείων
χρήσιμος δὲ καὶ τῆς γλυκείας ῥίζης ὁ χυλὸς λειαινόμενός τε, καὶ
στόματι συμπλεκόμενος·

Περὶ φθίσεως.

Ἡ φθίσις ἐστὶν ἕλκωσις ἐν πνεύμονι· γίνεται δὲ ἐπὶ τελείοις ἐμπύ-
οις· καὶ τοῖς ῥεύμασι τοῖς χρονίζουσι· καὶ ἐπὶ ταῖς τοῦ αἵμα-
τος πτύσεσιν, ὅταν τῆς αἱμορραγίας ἐπισχεθείσης· μήτε
κολληθῇ τὸ ἕλκος, μήτε εἰς οὐλὴν ἔλθοι· θεραπεύειν δὲ χρὴ
πρὸς τὰ ἀνάλογα ταῖς ῥήξεσι γίνεσθαι τὰ προειρημένα·
καὶ ἕτερα μὴ ἐπιβάλλεσθαι· κεφαλωτὸν οὖν ἁρμό-
ζει πράσον μάλιστα ἐν πτισάνῃ συνεψηθέν· ἢ δὴ δὲ καὶ
ἑτέροις ῥοφήμασι συνεψηθέν· ἢ μετ' ὀλίγοις· καὶ καθ' ἑ-
αυτὸν δὶς ἀφεψημένον λαμβανέσθω· τὸ δὲ πινόμενον ὕδωρ
ὄμβριον ἔστω· καὶ ἐφ' ἱκανὸν καθεψημένον· παραληπτέ-
α δὲ ἐν ταῖς ἀρχαῖς τῶν ἀνέσεων καταπλάσματα, τὰ διὰ λινο-
σπέρμου καὶ τήλεως· διὰ ἀφεψήματος τήλεως ἢ μαλά-
χης ἐλαίου τε καὶ μέλιτος· προσμιγνυμένου δὲ αὐτοῖς,
καὶ τὰ τῆς ἀλθαίας φύλλα· χρόνου δὲ προϊόντος· ἐπὶ

τὰς σκληρότητας μεταβατέον. ἄλλας δὲ διὰ βουτύρου καὶ δα-
ἢ καὶ ἴρι. φνίνου. καὶ κυπρίνου, μετὰ δὲ ταῦτα, μαλάγμασι
χρηστέον. τὸ μὲν πρῶτον τὸ διὰ τεσσάρων, ἐκ κηροῦ καὶ τε-
ρεβινθίνης καὶ ἴρεως δύο ἢ τρεῖς ἀστράγαλοι συντεθέν-
τες τοῖς μεμιγμένοις μετὰ γλυκείας. εἰ χρόνιος ἢ χαλεπὴ
ἐνεργοῦσα εἴη. θύμος λεπτὸς καὶ ὕσσωπον ἀναλαμβανέσθω
μέλιτι ἀπέφθῳ. μετ᾽ ἔθος ἐκφίων. καὶ ὑπὸ τὴν γλῶτταν
διακρατείσθω. ἁρμόζει δὲ καὶ ἡ μιθριδάτειος ἐκ διαστήμα-
τος λαμβανόμενος, καὶ ἡ διὰ ἐχιδνῶν. συμφορώτατον δὲ φύ-
σει καὶ ἡ γαλακτοποσία:—

περὶ ἀσθματικῶν:—

Τοῖς λεγομένοις ἀσθματικοῖς ἁρμόζει τὰ λεπτύνοντα φάρμα-
κα χωρὶς τοῦ θερμαίνειν σφοδρῶς. καὶ διὰ τοῦτο αὐτοῖς καὶ
λίαν ὀνίνησιν ὄξους τὸ σκιλλητικόν. αὐτή τε ἡ σκίλλα. καὶ
τὸ διὰ τοῦ τοιούτου ὄξους ὀξύμελι. συνεχῶς τε τοῖς ὀρθοπνο-
ϊκοῖς κάππαρις μετὰ νίτρου. καὶ τὸ ὀξοίνου κεκαυμένου καὶ
σχοίνου ἄνθος. καὶ ὀρεοσελίνου μετὰ σικυωνίου. Φίλιππος
δέ φησιν ἐν τῷ κεναῖς τινὰ ὃς δύο μετὰ τῆς ἴρεως. καὶ κόρου
ἐν ἀφρονίτρου κοτύλων καὶ σκευθῶν, πρὸ ἅπαντος ἐν τῷ ἀλεί-
μματι ἄπειρα ἀνέτριβε. καὶ πυρετὸς αἱματώδης γίνεται.
καὶ τοῦτο ποιῶν ἄσθμα μικρὰ καὶ πυώδη διὰ βῆχος
ἀπεκρίνετο. τὰ δὲ μείζω τῶν ἱκανῶν. καὶ θερμοῖς μὲν συνε-
χέστερα ἀπὸ φαρμάκων ἰσχυροτέρων καὶ ἧττον ἀπὸ
ῥαφανίδων. καὶ μαλάγματα ὀξέα ἀλκοί. καὶ ἐλαφ ἰχώρ.
καὶ ἀριστολοχία ἡ στρογγύλη μετὰ ὕδατος πινομένη, ἀσ-
θματικοῖς βοηθεῖ. κενταυρίου τοῦ μεγάλου ἡ ῥίζα. τοῦ
σικύλου ὁ καρπὸς καὶ ἡ ῥίζα. καλαμίνθης ὁ καρπός, καὶ
ὕσσωπον. ἴρις μέλαν. ὄνου τὸ ἀπὸ ταῖς ὑδρύαις ἐξεσ-
βαλών ἐσ ἄτρος καραμεσοῦ, φρύγε πανθράκων. λα-
κων θεὺ λας ἡ τρίβε καὶ μέλιτι ἑφθῷ ἀναλαβών

δίδου μύρον ἐκλείχειν πρὸ τροφῆς. ἄλλο

Σκίλλης ὠμῆς τὸν χυλὸν ἔκθλιβε· καὶ μίξας αὐτῷ μέλιτι τοσοῦτον ἕψε ἐπ᾽ ἀνθράκων· καὶ δίδου μύρον πρὸ τροφῆς καὶ μετὰ τροφήν.

περὶ τῶν ἐν καρδίᾳ παλμῶν.

ϛʹ Οἶδά τινα φησὶ κατ᾽ ἐνιαυτὸν ὅρους ὥρᾳ πάσχοντα τοῦ παλμοῦ σύμπτωμα τῆς καρδίας· καὶ πυκνῇ πείρᾳ ἔγνωκε στιν ἐπειράθη φλεβοτομίας ὠφελούσης ἔφθασε ἐπὶ τοῦ τελάρτου φλεβοτομηθεὶς πρὶν ἁλῶναι τῷ συμπτώματι· καὶ οὕτως ἔπραττε κατὰ τὸ ἑξῆς πλειόνων ἐτῶν.

περὶ πλευρίτιδος.

ζʹ Ἀκριβὴς πλευρῖτις ἐν πρώτοις πάθει τοῦ ὑπεζωκότος ὑμένος γίνεται, διὰ μέχρι κλειδὸς ὑποχονδρίων ὁ πόνος ἐξικνεῖται. ἐὰν οὖν εἰς κλεῖν ἡ ὀδύνη διατείνοι· φλεβοτομίας χρεία. εἰ δὲ εἰς ὑποχόνδρια· καθάρσεως. ἐπειτα μάλιστα κατὰ τὸ ἄλγημα καὶ νύματα δὲ ἐς, οὐ μετὰ τῆς ἄλλης βοηθείας. δώσομεν οὖν τοῖς οὕτω κάμνουσι φάρμακα τῆς λεπτυνούσης δυνάμεως· μάλιστα δὲ ἐπὶ τῶν φλεγμαινόντων· ὁ δὲ ἰσχυρότατα κατὰ τὰς πρώτας τῶν φλεγμονῶν· μάλιστα δὲ οὖν ἐστιν ὅτε τῆς πτισάνης χυλός· καὶ τὸ μελίκρατον· ἰσχυρότερον δὲ τὸ τῆς ἀκαλήφης ἀφέψημα· καὶ ὅταν ἐμβληθῇ τι τῶν δριμέων βοτανῶν οἷον ὀριγάνου καὶ ὑσσώπου καὶ καλαμίνθου· γλήχωνος καὶ ἴρεως.

περὶ ὀδύνας πλευρῶν

ηʹ Πλευρῶν ἡ ὀδύνας ἄνευ πυρετῶν βδελλίου ἰᾶται· καὶ κόστος καὶ ἄμβης καὶ τῶν κωθέντων τὸ φάρμακον τὸ ἐστὶ παλαιὸν ἐστὶ τῶν πλευρῶν ἀλείμματα χρώμεθα· καὶ ἔτι τοιοῦτον ἕτερον· διὰ φορυτίνου τὸ ἐστὶν ἰσχυρὸς τὸ φάρμακον.

θʹ περὶ τίτθους

[illegible]πατος φλεγμονούντων τιτθῶν βοήθημα ἐστὶ δραστικώ-
τατον ἐπιτιθέμενον· ἐὰν ἢ ξηρότερον ὄν σοι φαίνεται· κύ-
πρινον μάλαγμα ἢ ῥοδίνῳ· καὶ πρὸς τὸ ἐντὸν [illegible]·
σβέννυται τὰ γάλακτα τυρωθὲν κατὰ τοὺς μαστούς· χρήσιμον
ἱκανῶς ἐστὶν ᾧ ὅλῳ χρώμεθα μιγνύντες ῥοδίνῳ· οὐ
μόνον ἐπὶ τιτθῶν φλεγμαινόντων· ἀλλὰ καὶ ἐπ᾽ ἄλλων
πλειόνων μορίων· ῥύπος ὁ ἐν ταῖς παλαίστραις, ἴαμα
φλεγμοναῖς ἐστὶ τιτθῶν· καὶ γὰρ τὸ ῥύπος [illegible] σβεν-
νουσι· καὶ τὸ ἐπιρρέον ἀναστέλλει· καὶ τὸ περιεχόμενον
διαφορεῖ· κυάμινον ἄλευρον μαστῶν καὶ διδύμων ἀ-
γαθὸν ἐστὶ κατάπλασμα· φιλεῖ γὰρ ταῦτα τὰ μόρια
μεγίστως τύχεσθαι φλεγμαίνοντα· καὶ μάλιστα ὅταν πυ-
ρωθῇ τὸ γάλα τῆς γυναικὸς· ἀκόνης ἀπόξυσμα· τιτθοὺς καὶ τῶν παρ-
θένων κωλύει πρὸ ὥρας ἐμφύσασθαι· καὶ παιδίων ὄρ-
χεις χοίρων ἐντακέντων καταχριθέντα αἵματι τοὺς μαστούς· ἢ
οὐ καὶ αὐξόντων· ταῖς [illegible] τῶν μαστῶν ἀποκαθίστω
φακῆ ἑψηθεῖσα ἐν θαλάσσῃ καταπλασσομένη· ἢ ἡδύοσ-
μον σὺν ἀλφίτῳ καταπλασθέν· κιμωλία σὺν ὄξει καταχρι-
ομένη· γάλακτος [illegible] μελανος [illegible] χυλοῦ· κονίου φύλ-
λα καταπλασσόμενα [illegible] πυρωμένη· σβέννυσι ἡ μετὰ
ταῦτα ἄλευρον κυάμινον καθ᾽ ἑαυτό· καὶ σὺν ἀλφίτῳ κατα-
πλασθέν· κυδώνια ἑφθὰ σὺν μέλιτι· οὐκ ἐᾷ ἢ τὸ ἐπὶ τῶν
τιτθευουσῶν γάλα τυροῦσθαι δὲ καὶ τὸν ἀριθμὸν κατέχειν κατὰ
τὸ μέγεθος· καὶ ἐπὶ μηρῶν καταπινόμενα·

περὶ τῶν τοῦ σώματος τῆς γαστρὸς παθῶν·

Τοῖς τὴν κυνώδη καλουμένην ὄρεξιν ἔχουσι· τουτέστι τοῖς ς'
ἀπαύστως λιμώττουσιν· οἷον διδόναι χρὴ [illegible] ἱ-
κανῶς θερμαινόντων ὡς μέγα ἴαμα· τοιοῦτοι δέ εἰσιν, οἱ
τὴν χρόαν πυρροί· ἢ ἐρυθροὶ χωρὶς τοῦ [illegible]· αἱ γὰρ κυ-
νώδεις ὀρέξεις· διὰ ψυχρότητα τοῦ στομάχου συνίστανται ἐ-

—πόλως

οὖν ὁ τοιοῦτος οὖν ὁ τοιοῦτος οἶνος αὐτὰς παύοι· χρὴ δὲ
δὲ αὐτοῖς ὅλως ἐπὶ τὸ ἄριστον ἀφικνοῦνται, πρῶτον διδόναι τὰ
λιπαρὰ καὶ ἐλαιώδη τῶν ἐδεσμάτων· καὶ τὰ ἄλλα δὲ πάντα
δι' ἐλαίου πολλοῦ σκευάζοντα· καὶ μηδὲ αὐστηρὸν καὶ
στρυφνὸν ἔχοντα· μετὰ δὲ ταῦτα τὸν οἶνον καὶ μηδέπω δι-
ψῶσι καὶ αὐτὸν προσφέρεσθαι· πραΰνεται μὲν γὰρ αὐτοῖς αὐ-
θέως ὁ λιμὸς ἐπὶ τῇ τοιαύτῃ· πλείονι δὲ χρόνῳ πραττόντων
οὕτω καταπαύεται. Τοῖς δὲ λύζουσι διδόναι χρὴ πήγανον
μετ' οἴνου· ἢ νίτρον ἐν μελικράτῳ· ἢ σέλινον· ἢ κύμινον·
ἢ κορίαννον ἢ σκυλλιτικὸν ὄξος· ἢ ἄσαρον· ἢ νάρδον κελτικήν· ἰδίᾳ ἕ-
καστον καὶ ὁμοῦ· καστόριον τοῖς ὑπὸ πλῆθος λύζουσιν ἐπὶ
ψυχροῖς καὶ γλίσχροις χυμοῖς· διδόναι πίνειν δι' ὀξυκρά-
του· καὶ κατὰ τοῦ δέρματος ἐπιτιθέμενον ὠφελεῖ δράμασι
κωνείῳ· ἢ παλαιῷ ἐλαίῳ ὅλον δὲ ὑπὸ πληρώσεως ὑγρῶν
γενόμενοι λυγμούς· τοὐπίπαν δὲ οὕτω συνίσταται· βιαίας δέ-
ται κενώσεως· τοῦτο δὲ πταρμοὺς ἐργάζεται· αἱ δὲ ναυτί-
αι γίνονται πρὸς ἔμετον ὁρμώσης τῆς γαστρός· ποτὲ
μὲν πλῆθος βαρύνοντα αὐτήν· ποτὲ δὲ δήξεως· ἢ ὅλ-
μοχθηρῶν χυμῶν· γίνεται δὲ συμπίπτοντα καὶ ἐμοῦσι δοῦ-
δον· ἐφ' ὧν οὔτε πολύς ἐστιν ὁ λυπῶν χυμός· οὔτε κα-
τὰ εὐρυχωρίαν τῆς γαστρός· ἀλλ' αὐτοῖς περιέχεται τοῖς
χιτῶσιν· ἐνίοις μὲν ὡς ὕδωρ ἐν σπόγγῳ· ἐνίοις δὲ ἐμπε-
πλασμένα δυσαπολύτως· ἡ δὲ ἴασις ἐν τρισίν ἐστι κνημέ-
νη κεφαλαίοις πέψει· καὶ ἐπικρατήσει καὶ κενώσει·
πέττονται μὲν οὖν οἱ φλεγματώδεις χυμοὶ καὶ ὠμοί· τῇ τε
ἡσυχίᾳ καὶ ἀσιτίᾳ καὶ ὕπνῳ· τῶν δὲ ἄλλων τοὺς λεπτοὺς
τὴν σύστασιν μετρίως ἐσφηνωμένους ἐκβαλεῖν ἐμέτοις·
ποτὲ μὲν ἐπὶ ταῖς τῆς πτισάνης χυλωτανομένοις, ἢ με-
λικράτῳ· ποτὲ δὲ ἐφ' ὕδατος μόνου· ὅσοι δὲ γλίσχροι τέ εἰσι
καὶ παχεῖς δυσλύτως ἐμπεπλασμένοι τῇ γαστέρι τῶν λεπ-

τινῶν τούτων χρήζουσι τοὺς χυμούς· ἔνθα ἡ ξηρότης μοχθη-
ρὰ διὰ τὸ βρέξαι τοὺς χιτῶνας τῆς γαστρός, ἡ διὰ τῆς ἀλόης
πικρὰ χρησίμως ἐκκαθαίρει ταύτην· τὰ στύφοντα δὲ
βλάπτει γενναίως· ὥσπερ πάλιν ἀφ' ὧν ξηρότης πολλή
χωρεῖς κακίας χυμῶν· ὅταν οἷον πλαδαρὸς ᾖ· ἢ διὰ πο-
σῶν λυπούντων μόνα· τὰ στύφοντα ὠφελιμώτερον γί-
νεται· τὸ γὰρ τῆς ἀλόης φάρμακον, ἐς μαρασμὸν ἄγει πάν-
τως τοὺς χρησαμένους· μίξαι δὲ αὐτῆς τοῖς στύφουσι καὶ
τῶν θερμαινόντων· τῆς ψυχρᾶς διαθέσεως αἰσθανομένης·
ἱκανοῦ ἡ γνώρισμα τοῦ ψυχροτέρου τὴν διάθεσιν εἶναι τὸ
ἄδιψον· ὅταν γὰρ θερμὴ διάθεσις ὑποκειμένων ἢ· μήτε καύ-
ματος αἴσθησις κατὰ τὸ τῆς κοιλίας στόμα, δῆλον ἐστὶν
οὐκ εἶναι διάθεσιν θερμήν· αἱ δὲ φλεγμοναὶ τοῦ στόματος
τῆς κοιλίας καὶ τοῦ ἥπατος δέονται τῆς τῶν στυφόντων συμ-
πλοκῆς· ἐὰν γὰρ διὰ τῆς χαλαστικῆς ἀγωγῆς μόνης θερα-
πεύσῃς, κίνδυνον ἐπάξεις τῆς ζωῆς· δεῖ τοίνυν ἤτοι ἔλαι-
ον ἢ τὸ ἐπαντλούμενον τοῖς πεπονθόσι τόποις· ἢ τὰ κατα-
πλάσματα, περιπλέκειν τῶν στυφόντων· οἷον ἀψίνθι-
ον· ἢ νάρδινον μύρον ἢ μήλινον· ἢ κυδωνίου ἐμβάλλειν τῇ
κηρωτῇ· ᾗ συνεχῶς χρώμεθα· κηροῦ λευκοῦ γο α'· ἀ-
χνῆς μαστίχης ἀνὰ γο α'· εἰ δὲ πλείονος δέοιτο στύψεως ἀλοι- *ἢ καὶ ὀμφακίου τὸ ἴσον μιγνύσθω ἢ*
οὔσης, ὡς μηδὲ τῶν ξηρῶν κρατεῖν· προσμιγνύσθω ἡ *ἐν τῇ κηρωτῇ πρὸ τοῦ ὀμφακίου*
ἐν τῇ κηρωτῇ, πρῶτον ὀμφακίου· ἔπειτα τὰ ἄλλα· μιγνύσθω δὲ
ὡς πρὸς τὸ ὀμφάκιον, οὕτω καὶ τοῦ ἀψινθίου· ἔστι δ' ὅτε *ἢ χυλοῦ*
καὶ ἄμφω· καὶ ξηρόν γε ἐπ' αὐτοῖς, τῆς ὑποκυστίδος καὶ οἰ-
νάνθης· καὶ ῥοῦ χυλὸν παραμίξειν ἐν τῇ κηρωτῇ τὸ πλῆθος
ἀνάλογον τῷ τῶν ἄλλων φαρμάκων ἀριθμῷ· χρονιζού-
σης δὲ τῆς φλεγμονῆς, καὶ σκληρυνομένης ἤδη, ποικιλώ-
τατα φάρμακα προσφέρειν χρή· καὶ τῶν ἀρωμάτων ἐχόν-
των τι· καὶ τῶν μαλακτικῶν· καὶ τῶν διαφορητικῶν· οἷ(ον)

ἐστὶ καὶ τὸ διὰ μηλιλώτου σκευαζόμενον· ὁ χλωρὸς ἴασπις
ὠφελεῖ τὸν στόμαχον· καὶ τὸ στόμα τῆς γαστρὸς περιαπτόμε-
νος· καὶ πεῖραν τε ἱκανὴν δέδωκε· καὶ χρὴ ποιοῦντ
ὁρμαθὸν ἐξάπτειν τοῦ τραχήλου· συμμέτρως οὕτως, ὡς ψαύ-
ειν τοῦ στόματος τῆς γαστρός· ἐπὶ τῶν θερμῶν τοῦ στομάχου
δυσκρασιῶν· καὶ καυσουμένου μετὰ ἐκλύσεως, ἢ ὀλιγοψυ-
χίας· ἢ τινὸς ἀνορεξίας, ἐξ οἵας δήποτε προφάσεως· πλὴν
μετὰ πυρετοῦ ψυχρὸν ὕδωρ δίδου μετὰ ὄμφακος χυλοῦ· ἢ
μήλων κυδωνίων ἀφέψημα· ἢ ἕλικος ἀμπέλου· ἢ σου-
κίων ἀποβρέγματα· ἢ ὀπτὰ λεῖα μετὰ ψυχροῦ· ἢ κώνει-
ον ἢ ἡδυόσμου λεάνας, δὸς πίνειν· ἐπιτίθει ἢ ἔξωθεν ἐπὶ
τὸν στόμαχον· κύστιν πληρώσας ὕδατος ψυχροῦ· ἢ χιόνα
ἐπίβαλε· ἢ κολοκύνθης ξέσματα· ἐν καιομένοις ἄδι-
ψον καταπότιον· σικύου ἡμέρου σπέρματος γρ. η̅ — τρα-
γακάνθης γρ. ς̅· λύε τὴν τραγάκανθαν διὰ ὠῶν ὠμῶν προσ-
φάτων τῷ λευκῷ· καὶ ὅταν διαλυθῇ, τρίψας ἐπιμελῶς ἐπίβαλ-
λε τοῖς λοιποῖς· καὶ ἀναμίξας ἀνάπλαττε καταπότια
καὶ ξηράνας ἐν σκιᾷ δίδου· ὑπὸ τὴν γλῶτταν ἐγκατέχειν.
καὶ τὸ διαλυόμενον ὑγρὸν καταπινέτω· καὶ τοῦτο καὶ ψυκτι-
κόν τε ἅμα καὶ ζωτικόν, πλαδῶντος ἐστὶ στομάχου, διὰ τὲ-
σιν ἔχοντος ὑγρὰν καὶ θερμήν:— ἄλλο
ῥόδων χλωρῶν τῶν φύλλων, γρ. ς̅· γλυκυρρίζης γρ. α̅· νάρδου ἰν-
δικοῦ γρ. α̅· οἴνῳ γλυκεῖ ἀναλάμβανε· καὶ ποίει καταπό-
τια· καὶ δίδου ὑπὸ τὴν γλῶτταν κατέχειν· ἢ διαλύων ὕδατι
ψυχρῷ ἐρεβίνθου τὸ μέγεθος· ἐπὶ δὲ τῶν κατεψυγμένων καὶ
ἐφ' ὧν διὰ πλῆθος τοῦ φλέγματος θερμαίνεσθαί τε καὶ τέμνε-
σθαι δεομένων· χρήσιμόν ἐστι τόδε· μελανθίου ῥίζης φλοιοῦ
γρ. α̅· ὄξους ξε. α̅· ἀλόης γρ. α̅· αἱ ῥίζαι σὺν τῷ ὄξει ἕψονται· ἢ
θρύπτονται ἑφθαὶ γενόμεναι· εἶτα ἐπιπάσσεται ἡ ἀλόη· δίδου
κοχλιάρια τρία σὺν ὕδατι· τινὲς δὲ ἀντὶ ἀλόης σκευάζουσιν·

Ἐπὶ δὲ τῶν ἀποξηραινόντων τὴν τροφὴν, χρήσιμον τόδε
τὸ φάρμακον· πεπέρεως γο α΄· ἀνήθου σπέρματος γο α΄· κυμίνου
γο α΄· λεάνας δίδου εἰς τὴν κοίτην ἐν οἴνῳ κοχλιάριον ἀκεκρα-
μένῳ· ἐπὶ δὲ τῶν γεννώντων χολὴν μέλαιναν· καὶ φυσω-
μένον τὸν στόμαχον ἐπιτίθει· καὶ μάλιστα ἐν ταῖς ἐπιτά-
σεσι σπόγγους ὀξυκράτῳ βεβρεγμένους· μετὰ δὲ τούτους
ἐπιμένουσι· στυπτηρίαν ὑγρὰν μετὰ χαλκοῦ λίου· μέλι-
τι ἀναλαμβάνων ἐπιτίθει· τῷ δὲ διαιτωμένῳ· καὶ πνευ-
ματουμένῳ τὸν στόμαχον καλαμίνθης ἀπόζεμα ἑψηθεί-
σης μετὰ τοῦ ὕδατος, μίξας ὀλίγον μέλιτος δίδου, καὶ πεπέ-
ρεως· πρὸς δὲ τὰς ἀναφορὰς τῶν στομάχων, ῥοὰς ὀξείας τῶν
πυρίνων χυλῶν μέρη κ΄· ἡδυόσμου χυλοῦ μέρος
ἕν· βαλὼν εἰς κεραμεοῦν ἀγγεῖον, ἕψε καὶ ἕως συναχθῇ·
καὶ ὅλην στραφῇ, ἄρας ἀπόθου· ἐν δὲ τῇ χρήσει δίδου πρὸ
τροφῆς μύστρον ἕν·

## Περὶ πνευματώσεως γαστρός

Ἡ τῶν πνευμάτων ἐν τῇ γαστρὶ γένεσις, γίνεται μὲν ἢ σιτίων ἀτ-
μοὺς διαλυομένων ὑπὸ θερμότητος οὐκ ἰσχυρᾶς χλιαρᾶς·
ἡ μὲν γὰρ ἕξις τῶν μὴ πεφυκέναι λεπτύνειν· καὶ διαλύ-
ειν γεννᾶν πνεύματα· ὅθεν ἡ δὲ σφοδρὰ θερμότης
οὐ λεπτύνει καὶ διαλύει μόνον, ἀλλὰ καὶ διαφορεῖ καὶ κω-
λύει τὴν σύστασιν τοῦ πνεύματος· ἡ δὲ ἐλάσσων θερμότης, ἀλ- ἀλλὰ μὲν
καὶ μεταβάλλει τὴν τροφὴν· ἐλλιπέστερον ἢ κἀνταῦθεν
ἡ γένεσις τῶν πνευμάτων· λεπτύνειν οὖν αὐτὰ διὰ τῶν θερ-
μαινόντων φαρμάκων προσήκει, ἀφεψῶντας ἐν ἐ-
λαίῳ κύμινον· καὶ σελίνου· καὶ ἀσφοδίλου· καὶ δαύκου σπέρ-
μα· ψύξεως ἢ προσούσης τῆς διαθέσεως, πήγανον· καὶ
δαφνίδας· καὶ μελάνθιον· καὶ μάλαθρον ἕψειν τῷ ἐλαί-
ῳ· καὶ μίγνυειν ἄσφαλτον· καὶ ἔλαιον δάφνινον· ἐὰν τις
καὶ φλεγμονὴ συνῇ ταῖς ὀδύναις ἀντὶ τῶν θερμαινόν-
των

χρήσιμοι τοῖς χαλαστικοῖς τὸ ἄνηθον· ἐλαιῶν· καὶ μίσυος σε-
δρ ὄρνιθες καὶ χῆνες ποιοῦσι δὲ πρὸς τοὺς πνευματουμένους·
καὶ πολίου δεσμίδιον καθεψόμενον καὶ πινόμενον· ἡ κα-
λαμίνθης ἀφέψημα· μιγνύμενον μετὰ ὀλίγου καὶ
πεπέρεως τινά· ταῦτα μὲν οὖν ὀδύνης σφοδρᾶς ἐμπεσού-
σης προσακτέον· ἐπιθετέον τοῖς μέρεσι θερμὰ κέσουσι καὶ πυρί-
αι διὰ κέγχρου· καὶ διὰ τῶν ὠμολίνων· σικύα ἡ αὐτὴ μετ-
πτέρυγα λαμβάνουσα τὸν ὀμφαλὸν ἀθρόως πολλάκις ἀ-
παλλάττει τοὺς πάσχοντας· τοῦ συμπτώματος· ὠφελεῖ δὲ καὶ
τὸ κασόριον αὐτοῖς πινόμενόν τε καὶ δι' ὀξυκράτου· καὶ
ἔξωθεν σὺν ἐλαίῳ σικυωνίῳ ἐπιθέμενον· κἂν μετὰ στρόφου
τυγχάνουσιν αἱ ἐμπνευματώσεις· καὶ ὗος δὲ ἀστράγαλος καν-
θεὶς, στρόφους καὶ ἐμπνευματώσεις ἰᾶται· καὶ ἀριστολοχία στρογ-
γύλη· τὰς ἢ δι' ἐμφράξεις τῆς κοιλίας ὀδύνας· ἢ διὰ παχύτητα
γινομένας αἵματος· ἢ διὰ ψύξιν οἶνος πινόμενος ἄκρα-
τος ἔξοχος μετὰ τροφῶν ὀνίνησιν· ὕπνου ἐπιγενομένου, καὶ
τελείως αὐτὰς παύει·

ἢ καὶ ποθεὶς

## Περὶ τῶν παρὰ φύσιν τῆς γαστρὸς ἐκκρίσεων.

ια' Ἐν ταῖς παρὰ φύσιν τῆς γαστρὸς ἐκκρίσεσιν, ὅταν μὲν ἰσχυραὶ
προθυμίαι συμβαίνωσιν, ἐκκρίσεις μὲν γίνονται πιμελώ-
δεις τὰ πρῶτα, καὶ μυξώδεις· ὕστερον ἢ καὶ ξυσματώδεις
τινὰ καὶ βραχέως αἵματος ἐκκρίσεις ἐπεσταλμένου τοῖς διαχω-
ρήμασι· οὐκ ἂν ἀναμεμιγμένου ποτὲ τὸ ἀπεφθισμένον ἔντε-
ρον· ἢ διαθέσεις ἐνερείζεσθαι φαίνεται· καὶ καλεῖται τεινεσ-
μὸς τὸ πάθος· ὅταν ἢ ἄνευ τοῦ προκινεῖσθαι πιμελώδη ἐκ-
κρίσις ἐπὶ ταῖς χολώδεσιν ἀθέως αἱ ξυσματώδεις γίνονται·
μετὰ δυσέξεως μὲν πάντως· ἐνίοτε δὲ μετὰ στρόφου· φαίνε-
ται ἡ ἀναμεμιγμένα τοῖς διαχωρουμένοις τὰ αἱματώδη, τι-
νὰ παῦλα σημαινόμενα τὰ τῶν λεπτῶν καὶ τῶν ἄσω ἐλατ-
τόνων· τὰ ἢ πιμελώδη τε καὶ αἱματώδη φαίνηται μὴ μεμιγ-
μένα

Τοῖς διαχωρήμασιν· οὕτως παχέσιν ἐντέροις τὴν διάθε-
σιν εἶναι τεκμαιρόμεθα· δυσεντερική τε διάθεσις ἀμ-
φω καλοῦνται· συμβαίνει δέ ποτε αἵματος πολλοῦ ἔκκρι-
σιν γίνεσθαι μόνου· ταύτην ἔνιοι τῶν ἰατρῶν αἱματι-
κὴν ὀνοματικὴν ὀνομάζουσι δυσεντερίαν· τούτων
δ᾽ ἔξωθεν ἐστὶν ἄλλη τις διάθεσις ἐν τοῖς κατὰ τὴν γαστέρα
τόποις καὶ τὰ ἔντερα· καθ᾽ ἣν μετὰ τὴν προσφορὰν τῶν σι-
τίων, ἡ διαχώρησις αὐτοῖς γίνεται ταχέως· οὐδεμίαν ἐ-
σχηκότων μεταβολὴν· ἀλλ᾽ ὠμῶν καὶ ἀπέπτων καὶ
ἀχυλώτων διαχωρουμένων· καὶ πάντες ὠνόμασαν τὸ
πάθος λειεντερίαν· ταύτην τὴν διάθεσιν ἢ δι᾽ ἕλκωσιν ἐπι-
πολὺ γίνεσθαι φαμὲν καθόσον τὸ ἔντερον· ἢ δι᾽ ἀτονίαν τῆς κοι-
λίας οὐ δυναμένης ἀνασχέσθαι τῶν σιτίων· πολλάκις
ἢ ἀτονοῦντος τοῦ ἥπατος, ἐκκρίνεται διὰ γαστρὸς οἷον κρε-
ῶν νεοσφαγῶν ἀποπλύματι παραπλήσια· ἔστι δὲ καὶ
ἑτέρα τοιὰ ἔκκρισις ὑγρὰ ἐστῶτα· πεπτούσης μὲν ἀκρι-
βῶς τῆς γαστρός· τῆς ἀναδόσεως δὲ μὴ γινομένης· ἐκκρίνε-
ται μέντοι καὶ αἷμα μελάντερον τοῦ κατὰ φύσιν καὶ στιλπνόν.
μὴ πέττοντος καλῶς τοῦ ἥπατος τὴν ἀναδιδομένην τρο-
φήν·— Τεινεσμοῦ θεραπεία —

Κατ᾽ ἀρχὰς αὐθέως ἐμβρεκτέον ἐλαίῳ μυρσίνῳ ἢ ῥοδίνῳ με- ιβ'
τ᾽ οἴνου τότε ἰσχὸν καὶ τοὺς βουβῶνας· καὶ τὸ περίναιον· ἐ-
τα δοτέον αὐτοῖς γάλακτος πολὺ ἔλαττον κεκαυμένου· δοτέον
δὲ μὴ ἀθρόως ἀλλὰ μεμερισμένως· τὸ δὲ ἐξῆς τὸ ἐξ ἡμάτων
διδόσθω ἅλλα· ἑψέσθω δὲ μέχρι ἡμίσους ἢ διμοίρου τῆς ὑ-
φισταμένης λάκκης ἀφαιρουμένης· πρὸς τοὺς καὶ ὁ τόπους
ἐμβροχὴ δι᾽ ἐλαίου γινέσθω· κύμινον λεῖον· ἢ σελίνου
ἐμπεπασμένον ἔχοντος· ἀντίσθω δὲ εἰς τὸ ἀπαθὲς μὲν
πτισάνης χυλός· ῥόδων ἐνεψημένων ὕδατι· ἢ χόνδρος·
ὑφανής· καὶ σιτίων· εἰ δ᾽ ὑστέρας ἢ οὐσίας φλεγμονῆς· ἔλαι

γλυκύ· προσλαβὸν θερμὸν ἐμβληθέν· καὶ κατασχεθὲν ὥραις
πλείοσι· τὴν περιωδυνίαν ἔλυσεν· καὶ πυρία ἢ παρα-
λειπτέα, κατὰ μὲν τὸ ἦτρον διὰ σακκίου πεφρυγμένον· κέγχρον·
ἢ ἅλας ἔχοντα· ἐς δὲ τὴν ἕδραν διὰ σπόγγων· ἢ ἀκακίαν τεθλιμ-
μένων· ἢ μυρσίνης· ἢ βάτου· ἢ σιδίων ἀφεψήματος·

δυσεντερίας ἴασις·

ιγ' Ἐὰν μὴ αὐτὸ τοῦτο μόνον ἑλκώσῃς ἢ μηδενὸς ἐπιρρέοντος
ἔτι διὰ μιᾶς ἐνέσεως ἰσχυροῦ φαρμάκου ῥύπτεταί τε
καὶ θεραπεύεται τοὐπίπαν· εἰ δὲ μή, διαιρετέον τοῦ προσ-
τεθέντος, οὐκέτι δέοντος τρίτης· ἀπὸ μὲν οὖν τῆς ξανθῆς
χολῆς εἰ γένοιτο δυσεντερία, ἰώμεθα τοὐπίπαν αὐτήν·
εἰ δ' ἀπὸ μελαίνης χολῆς ἀνίατός ἐστιν· οὐδὲν δ' ἀφόβου κα-
ρκίνου τοῦ μεθ' ἑλκώσεως·

πρὸς δυσεντερικοὺς καὶ κοιλιακούς·

ια' Λημνία σφραγὶς· καὶ ἤδη νεμομένων ἰᾶται δυσεντερίας
πινομένη τε καὶ ἐνιεμένη· δεῖ δὲ προαποκλύζειν
τὰ ἕλκη ἐσὶν μετὰ μελικράτου πρῶτον ἀκρατοτέρου· κἄ-
πειτα ἅλμῃ· καὶ μετὰ ταῦτα τὴν λημνίαν· ἐνιέναι ἢ ἀρ-
ἢ χυλοῦ· νογλώσσου· πινέσθω δὲ δι' ὑδαροῦς ὀξυκράτου· ἀλλὰ τὸ
τυρῶδες· γίνεται δὲ τοιοῦτον· κοχλάκων διαπύρων ἐμβλη-
θέντων αὐτῷ καὶ ἑψομένου ἄχρις ἂν ἀναλωθῇ τὸ ὀρρῶδες
πλεῖστον· κάλλιστόν ἐστιν ἴαμα δυσεντερικοῖς· καὶ πᾶ-
σι τοῖς κατὰ τὴν γαστέρα ῥεύμασι· κινῶ ἐὰν ἢ κόπρον λέαν ἢ σφυμώσι·
τὸ οὕτω σκευασθὲν γάλα καλῶς μίξας, φάρμακον ποιή-
σεις ἄκρως ὠφέλιμον δυσεντερικοῖς· ἔτι δὲ καὶ δυναμικώτε-
ρον, ἢ ὀσοφαγεῖν· τὸ γένος ἐκ τῆς πρὸς τούς τε δυσώ-
δεις· καὶ λευκά· ξηραίνει δὲ τὰ κατὰ τὴν κοιλίαν ῥεύ-
ματα· καὶ ὠὸν δι' ὄξους ἑψηθέντος καὶ βρωθέντος· εἰ δὲ
καὶ σμίξαι βούλει τὰ πρὸς δυσεντερικῶν ἢ κοιλι-
ακῶν διαθέσεων ἁρμοττόντων ... ἐπὶ ἀκάπνου

πυρὸς δοίη προσενεχθῆναι καθαίρει μεγάλως ὀνήσει τοῦτο αὐτοῦ·
χρησιμώτατον δέ ἐστι πρὸς τὴν χρῆσιν ὀμφάκιον· ῥοῦς ἐ-
ρυθρὸς καὶ ὁ χυλὸς αὐτοῦ· τέφρα κοχλιῶν ὅλων ἐπικαυθέν-
των· σίδια· κηκὶς· γίγαρτα· μέσπιλα· μύρτα· κράνα·
κοχλιῶν καυθέντων μετὰ τῶν ὀστράκων τῆς τέφρας μέρη
τέσσαρα· κηκῖδος μέρη β΄· πεπέρεως μέρη α΄· χνοώδη ποι-
ήσας δίδου τὰ· τοῖς δὲ ἄλλοις ἐπὶ πλεῖον ἐν ὕδατι ἢ οἴνῳ ἢ δίδου
λευκῷ καὶ ὑδαρεῖ πίνειν, γενναίως ὠφελεῖ τοῦτο δυσεντερι-
κοῖς οὐδὲ ἔπος ... ἀνδράχνης
χυλὸς ἐπιτήδειος δυσεντερικοῖς πινόμενος· ἁρμόττει ἀρνο-
γλώσσου καὶ βάτου καρπὸς· καὶ τὰ φύλλα· ἀλθαίας τῆς ῥίζης
τὸ ἀφέψημα· πρός τε δυσεντερίαν καὶ διάρροιαν ὠφέλιμόν
ἐστι· καὶ ἵππουρις γενναῖον ἐστι φάρμακον δι' ὕδατος ἢ οἴνου
πινομένη· καὶ ὁ χυλὸς αὐτῆς ὁμοίως τὰς διαρροίας ποιεῖ
ἰᾶται ἀσύνατον· παλιούρου τὰ φύλλα· ῥίζα πίτυος· πα-
κίας φλοιός· φακὴ δὶς ἑψηθεῖσα τοῦ προτέρου ὕδατος ἀποχυθέν-
τος· γίγαρτα πάντα τοῖς τε γαστέρα καὶ ἔντερα παθοῦσι ῥο-
δέσιν ἱκανῶς βοηθεῖ, νάρδου στάχυς· ὀξυακάνθης ὁ καρπὸς
ἐσθιόμενός τε καὶ πινόμενος· ἄκανθα λευκὴ κοιλι-
ακοὺς καὶ στομαχικοὺς ὠφελεῖ· μόρου ὁ ἄωρος καρπὸς
ξηρανθεὶς, σεμνότατον ἱκανῶς γίνεται φάρμακον· ὥστε
καὶ πρὸς δυσεντερίαν ἁρμόττειν, καὶ κοιλιακοὺς· καὶ
διαθέσεις· καὶ τὰς ἄλλας ὅσαι ῥοώδεις· κόπτεται ἢ καὶ
τοῖς ὄψοις μίγνυται καθάπερ ἡ τῆς ῥοῦς καρπὸς· ἢ ἡ τίς ἀ-
λέσθη δι' ὕδατος ἢ οἴνου πίνεται· μᾶλλον ἐστὶν ἀφελεῖ
τῆς τὰ βάτινα ὁμοίως ξηραινόμενα καὶ ἀποτιθέμενα·

## περὶ εἰλεοῦ

ιε΄

Χαλεπὸν ὁ εἰλεός ἐστι πάθος· καὶ σπανίως ἐσώθη ποτέ τις ἐμπε-
σόντες ἐν αὐτῷ· μάλιστα δὲ ὁ ὀδυνώδης καλούμενος ἐστὶν ὀλέ-
θριος· καθ' ὃν τινὲς προσανέχουσι· ὁ δ' ὀδυνώδης ἐστὶν ...

πνοή· πολλάκις γὰρ ἡ ἐρυθρὰ τοιαύτη γίνεται· καὶ πολ-
πάνυ ἀποτελεῖσθαι τὸ σῶμα διασώζει, θαυμαστῶς ποιεῖ πρὸς
αὐτοὺς· καὶ ἀμμωνιακὸν πρὸς εἰς ἔλαιον ὕδωρ ἀνηθον ἐμ-
λ καὶ ποθέν· θὲν μετὰ τὸ πιεῖν εἰς θερμὸν ὕδωρ ἀμβαλὼν εὐθὺς προσ-
φαγεῖν θέρμους· τοὺς θέρμους σωθήσεται γὰρ καὶ ἡ δυ-
σπνοία· πρὸς δὲ τοὺς πυκνὰ ἐμοῦντας καὶ μὴ κατέ-
χοντας· ῥοῦ κυμίνου τρίψας σὺν τῷ αὐτῷ δὸς πιεῖν ὀ-
ξυμέλιτι κυάθοις γ'· ἢ ἀμπέλου φύλλα· ἢ ἑλίκ-
χυλίσας μετὰ ἀλφίτου δὸς πιεῖν:

πρὸς τὰς τῆς ἕδρας διαθέσεις·

ις Στήσας κηκῖδα τὴν ξανθὴν, καὶ λειώσας καταπλάσσε τὰς
ἐν ἕδρᾳ φλεγμονάς· καὶ προπτώσεις· ἰσχυρότερον γὰρ χρή-
ζων τοῦ βοηθήματος ἐν οἴνῳ· πραοτέρου δὲ ἐν ὕδα-
τι· καὶ ἄλας δὲ τῆς σχοίνου ποιεῖ πρὸς τὰ τῆς ἕδρας καὶ
ὑστέρας προπτώσεις. ἄλλο
Πίτυος φλοιοῦ ʒ η· κυπαρίσσου σφαιρίων ξηρῶν ʒ η· μολύ-
βδου ʒ η· προαποπνίξας οἴνῳ στυφνῷ λείοις καταπλάσσε·
πρὸς δὲ τὰς πυρώδεις ὀδύνας τῆς ἕδρας, ὠοῦ ὀπτοῦ λέκι-
θον λειώσας οἴνῳ λευκῷ· καὶ ῥοδίνῳ κηρωτῇ ἀναλαβὼν διά-
χριε· καὶ ἐμπλάστρου καταπλάσσε· ὀρόβου καθα-
ροῦ λελειωμένου ὕδατι καὶ ῥοδίνῳ προσλαμβάνοντα
καὶ ὠοῦ λεκύθου ὀπτοῦ. ἄλλο:
ῥόδων ξηρῶν ʒ γ· ὠῶν ὀπτῶν· λεκύθους καὶ οἴνῳ λειώσας ἀλλα-
κτὰ καὶ ῥοδίνῃ κηρωτῇ μυρσίνῃ καὶ χρῶ· καὶ ἡ κηρω-
τὴ δὲ ὁμοίως ποιεῖ· πρὸς δὲ τὰς ἐν δακτυλίῳ καὶ αἰ-
δοίοις ῥαγάδας σποδοῦ ξύσματα· ὀθονίων κεκαυμέ-
νων· καὶ ἀμύλου ἴσον λεάνας, καὶ ἐλαίας φύλλα· καὶ
χυλὸν μίξας κατάχριε· αἱμορροΐδας δὲ πλέον ὀνο-
μαζούσας ἀφίστησιν ἀλόη καταπλασθεῖσα· ἢ λεπὶς
σιδήρου μολίβδου κεκαυμένου ὀξυκράτῳ προσαν-

— πλούσιος· καὶ τῶν στιγμάτων· ἀναστομοῖ αἱμορροΐδας
μύρτων τῶν ἑψομένων· ἀμαράκινον· ἢ ἴρινον περιεχριόμενος
ἐπ' ἄκρα περὶ χρῖσμα· ἀνακινεῖ τὰ· βαλανανθίου κη· χας—
νον τὰ η· σιναπίδος τὰ α· τιμμιθίου τὰ α· κηροδροσύνη
ἀναληφθεῖσα· καὶ ῥόας ὀξείας λι. λ δασωπ ὀξέ ἐπιπλα—
σθεῖσα· ἐὰν δὲ ἐνδότερον ὦσιν αἱ μὲν ἐντι—
θέναι· ποιεῖ δὲ καὶ τοῦτο θαυμαστῶς σανδαράχης· ἀρσενικ—
χίσης ἀνὰ τὰ α· ἐπιχρίε περισχηματισμένον ἀπονε—
κροῖ καὶ ἀποπίπτει ἐν ἡμισείᾳ ἀποξηραινομένη καὶ ἀπὸ
τῆς βάσεως ἀποπυκνουμένη· ἀνίεται ἢ σαπεῖσα κλύδωνος δὲ χρί—
εσθαι κηρωτῇ· καὶ γίνεται περὶ πυρὶ ἢ ἐν ἡλίῳ:

περὶ τῶν ἐν ἥπατι παθῶν:

Φλεγμονῆς οὔσης ὀδύνη περὶ τὸ ὑποχόνδριον τὸ δεξιόν. ιζ
καὶ πυρετὸς πάντως πληθωρικῆ, πληθωρικοῦ δ' ὄντος
τοῦ σώματος, κενοῦται αἷμα τε καὶ περιαιρεῖται τὸ περιττὸν
τοῦ αἵματος· τέμνων φλέβα τὴν ἐν ἀγκῶνι τῆς δεξιᾶς χειρός.
καὶ ὡς ἐδέσματα μετὰ πτισάνης δίδου καὶ τοὺς χυλοὺς ὡς φάρμακα
δὲ ὀξύμελι κεκραμένον ὕδατι ἀρεστέρῳ· καὶ ἀφέψημα ἀψί—
νου· μετὰ ταῦτα δὲ ἤδη πεττομένης τῆς φλεγμονῆς, καὶ ἀ—
σάρου χρῆσις· καὶ κελτικῇ νάρδῳ· καὶ πετροσελίνου·
καὶ σχοίνου ἄνθος· καὶ τοῖς ὑπάγουσι δὲ ἀνακλίσει καὶ λι—
νοζώστει καὶ ἐπιθύμου· καὶ κατὰ τὰς περὶ ἀκμὰς, καὶ τοῦ
πολυποδίου· διδόμενον· καὶ διὰ κλυστήρων· ἐν ἀρ—
χαῖς μετὰ μελικράτου μεθ' ἀλῶν καὶ νίτρου· περὶ ἀκμῆς δὲ
ἐνέσεως, μίγνυε ὕσσωπον· ὀρίγανον· ἢ καλαμίνθην·
χρῆσθαι δὲ ἔσωθεν τῶν σπλάγχνων ῥᾳδίως κινουμένων· τῶν ῥυπ—
τόντων· ὅτε δὲ ἡ ὀδύνη χωρὶς πυρετοῦ συμπέσῃ, χρὴ γινώσ—
κειν, ἔμφραξιν εἶναι περὶ τὰ σπλάγχνα σφοδρὰν ὑπὸ πα—
χέων ἢ γλίσχρων χυμῶν γινομένην· ἀρχόμενον οὖν σκιρ—
ρουνιᾶσαι ζάλης χρονί· χρονίσαντα δ' οὐδαμῶς· ὑδε—
— ριῶσι

γὰρ οἷς ἂν σκιρρωθῇ· καὶ ἐν πλείονι χρόνῳ διαφθείρουσι.
τοὺς δὲ νῦν θεραπευθῆναι δυναμένους διὰ τῶν θερμαινόν-
των καὶ λεπτυνόντων ἰᾶσθαι μετὰ φαρμάκων· ἐπιμιγνύ-
ντες αὐτοῖς τὰ μαλάττοντα. τῆς δὲ ἀτονίας τοῦ ἥπατος
δυσκρασίαι μὲν οὖν εἰσὶν αἰτίαι· δυσφορώταται ἢ ἱκανῶς· καὶ
ποικίλαις καὶ χαλεπωτάταις ἐπάγουσαι συμπτώματα
τῶν ἰδέας· μηδὲ τοῖς τεχνίταις αὐτοῖς εὐμεταχειρίστως.
ἀτονοῦν τὸ ἧπαρ σκιρρούμενον, ἢ προσφύσει· καὶ ἐμπεφραγ-
μένοις· ἀρνογλώσσου ξηροῦ αἱ ῥίζαι· καὶ ὁ καρπὸς καὶ
τὰ φύλλα· μυάκανθα· καὶ μάλιστα τὸ σπέρμα, καὶ αἱ
ῥίζης ῥίζαι· δάφνης ὁ φλοιὸς πινόμενος τριώβολον ἐν οἴνῳ
εὐώδει εὐπέπτως καὶ μετὰ τούτων ἐντιθέναι τῷ μορίῳ.
θερμῶν πικρῶν ἀφέψημα μετὰ πηγάνου· καὶ πεπι-
νόμενον· καὶ τὸ ἄλευρον αὐτῶν καταπασσόμενον, καὶ
πυὸν μετὰ τούτων ἐντιθέναι· νάρδου στάχυς πινο-
μένη· καὶ ἔξωθεν ἐπιτιθεμένη· ἶρις· πιστακίου ὁ
καρπός· πράσιον ἀμύγδαλον· σφονδυλίου ἡ ῥίζα διὰ-
καθαίρει τὰ σπλάγχνα πάντα καὶ λεπτύνει τοὺς παχεῖς
καὶ γλίσχρους χυμούς· ἀσάρινον· ἀνθεμίς· ἡ χαμαίμη-
λον εὐμενέστερον ὑποχονδρίοις πάντων· μάλιστα,
κίχωρ· καὶ σέρις· ταῖς θερμαῖς τοῦ ἥπατος δυσκρασίαις
ἄκρως ἁρμόττουσι· τόνον τε γὰρ ἐντιθέασι τῷ μορίῳ.
καὶ διαρρύπτουσιν αὐτό· δίδου τοίνυν κιχωρ χύλισμα
τοῖς ὀστέοις θερμῶς κύαθον ἕνα μεθ' ὕδατος κυάθων τριῶν.
καὶ τι ἀττικοῦ ἐπιβάλλων κοχλιάριον ἐν μεθ' ὕδα-
τος· χρήσιμον δέ· οὐ μόνον ὁ χυλὸς αὐτῶν πρόσφα-
τός τε καὶ ἐξηρασμένος· ἀλλὰ καὶ τὰ φύλλα ξηρὰ κο-
πτόμενα μετὰ ἐπιμελείας· εἴτε πιπασσόμενα ποτῶν.
καὶ ἀφεψήματος δὲ τῆς αὐτῆς πινόμενα καλῶς ἐνεργεῖ· θερ-
μῆς γοῦν οὔσης δυσκρασίας· ἀλλ' ἐμφράξεως, μόναι

αἱ πόαι πινόμεναι διʼ οἴνου λευκοῦ καὶ λεπτοῦ, μεγάλως
ὠφελοῦσιν· ἢ ἧπαρ λύκου λειοῦται μετὰ ἀκριβείας· καὶ
δίδοται κύαθος ἓν μετʼ οἴνου γλυκέος· τοῦτο παραινῶ κα-
νῶς δέδωκε· καὶ πάσαις ἁρμόττει ταῖς δυσκρασίαις.
ὡς ἰδιότητι τῆς οὐσίας ἐνεργοῦν· καὶ οὐ κατά τινα ποιότητα·
πυρετῶν ἢ ὄντων οὐκ ἀμυδρῶν· βέλτιον αὐτὸ διʼ ὕδατος
διδόναι· καὶ ἔτι καλλίου διά τινος τῶν εἰρημένων· οἷον
ἐστὶν ὁ τῆς γενέσεως· καὶ τὸ φίλωνος δὲ φάρμακον θαυμα-
στῶς ὅπως ἐνίοτε δοθὲν ἅπαξ, ἰάσατο θερμὴν δυσ-
κρασίαν ἥπατος:

σύνθετον ἐκφρακτικόν·

Ἀμυγδάλων πικρῶν < ς· κυμίνου < η· σελίνου σπέρμα-
τος < α· δίδου πίνειν κοχλιάριον ἐν οἴνῳ· βροχίσκος ἀνίσου < δ·
ἢ ἀσάρου σελίνου σπέρματος, ἀμυγδάλων πικρῶν κεκαθαρμένων·
ἀψινθίου ἀνὰ < α· ὕδατι ἀναλαβὼν· ἀνάπλαττε
βροχίσκους ἔχοντας ἀνὰ < α· ἀπυρέτοις μετʼ οἴνου κεκρα-
μένου· δίδου πυρέττουσι μεθʼ ὑδρομέλιτος·

περὶ ἥπατος ἀτονίας:

Δυσκρασίαι μὲν αἰτίαι τῆς ἀτονίας τοῦ ἥπατος εἰσί· διαθέ- ιη
σεις δὲ αὐτῶν διάφοροι ἐργάζονται· αἱ μὲν οὖν θερμαὶ δυ-
σκρασίαι κατοπτῶσι τοὺς προϋπάρχοντας ἐν αὐτῷ
χυμούς· αἱ δὲ ψυχραὶ παχύνουσι καὶ δυσρρόους καὶ δυσ-
κινήτους ἐργάζεται τὸν ἤδη περιεχόμενον ἐν αὐτῷ· φλεγ-
ματικὸν ἢ καὶ ὠμόν· καὶ ἡ μὴ πεπτὸν ἔτι τὸ ἀναφε-
ρόμενον· καὶ ἡ μὲν ξηρὰ δυσκρασία, ξηρότης· καὶ παχυ-
τέρους ἐργάζεται τοὺς χυμούς· ἡ δὲ ὑγρὰ λεπτομερεστέ-
ρους καὶ ὑδατωδεστέρους. θερμῆς οὖν οὔσης τῆς δυσκρασίας,
σιτίων ἔξω γίνονται, πρῶτον μὲν τῶν χυμῶν ἔλαχη καὶ τὸ
θερμὸς αὐτῆς τοῦ ἥπατος· καὶ κενοῦται διὰ γαστρὸς
δυσώδη πάνυ χολώδη παχεῖα καὶ λαπαρὰ τῇ χροιᾷ·

οὐ τοιοῦτον ἔχει

ψυχρᾶς τῆς δυσκρασίας οὔσης, ἐκκρίνεται· οὔτε πολλὰ γίνονται· χρονίζει δὲ τὸ πάθος· καὶ δι' ἡμερῶν τινῶν καθαρθείσης ἡ γαστὴρ αὐτοῖς καὶ ἀθρόως· ἡ δὲ εἰδέα τῶν ἐκκρινομένων ὡς αἵματος σεσηπότος ἐστίν· ὥσπερ τῆς ἰλύος αἵματος παχέος· ἐπὶ δὲ ταῖς ξηροτέραις δυσκρασίαις· ξηρότερα τὰ ἐκκρινόμενα· καὶ ἐπὶ τῆς ὑγρότητος ὑγρότερα:

## περὶ ἥπατος σκίρρου.

ρθ' Ἀρχόμενον μὲν ἥπατος σκίρρον, ἰώμεθα πολλάκις. ἐκταθέντα δ' εἰς πλείους ἡμέρας, οὐ ταῦτος ἡ δύναμις· οὔ τε ἄλλον τινὰ ἔδον ἰᾶσθαι δυνηθέντα· πᾶσι μὲν τοῖς οὕτω πάσχουσιν, ὕδρωψ γίνεται· διαφθείρονται δὲ οἱ πλείους ἐν χρόνῳ μακρῷ· ἐπὶ τούτων δὲ χρὴ κατὰ τὴν θεραπείαν ταῖς φλεγμοναῖς αὐτοῦ· τὴν μῖξιν τῶν μαλακτικῶν· ἦν δὲ ἐκεῖνα διὰ ἀψινθίου καὶ νάρδου ἀμφοτέρων· ἔτι δὲ κρόκου καὶ οἰνάνθης καὶ μύρου τοῦ διὰ νάρδου στάχυος καὶ μαστίχης· τούτοις οὖν ἀμμωνιακὸν καὶ βδέλλιον, οἵ τε μυελοὶ καὶ τὰ στέατα μιγνύμενα τὸν γινόμενον σκίρρον ἐν ὕδασιν ἰάσαντο μετὰ τῆς προσηκούσης διαίτης· καὶ τῶν πινόντων φαρμάκων σκεπαζόντων, ἐκφράξαι καὶ διαρρύψαι τὸ σπλάγχνον· ἔστι δὲ ταῦτα πάντα καὶ τῶν ἐν νεφροῖς λίθων θρυπτικά· μιγνύναι δὲ χρὴ τοῖς τοιούτοις καὶ τῶν χρηστικῶν τι.

## περὶ καχεξίας:

ρι' Τὴν ἀρχὴν τῶν ὑδρωπικῶν παθῶν καχεξίαν καλεῖν εἰθίσμεθα· θεραπευτέον δ' αὐτὴν χρή· φλεβοτομοῦντας μεμερισμένως· ἄχρι τρίτης καὶ τετάρτης ἡμέρας ποιουμένους τὴν ἀφαίρεσιν· ἔστω δὲ τὸ πᾶν πλῆθος μήτε ξ' οὐγγιῶν πολὺ πλέον· μήτε δυοῖν ἔλαττον· ἐφ' ὧν ἡ αἱμορροΐδες ἀποκεκλεισμέναι διὰ πέσεις συνέστη·

Ἐπὶ δὲ τῶν δι' ἑτέρας προφάσεις ἐμπεσόντων εἰς τὸ πλῆθος, πάντως φλεβοτομητέον τῆς δυνάμεως πάνυ προσεχούσης πρὸ τοῦ φλεβοτόμου, πάντας τοὺς καταστέλλοντας τὸ πλῆθος· τούτῳ, καθαρτέον τὴν διὰ τῆς κολοκυνθίδος ἱερᾶ· ἡ δὲ δίαιτα ἔστω λεπτὴ καὶ ξηραίνουσα· καὶ χρὴ παραλαμβάνεσθαι αὐτοφυῶν (ἢ στυπτηριωδῶν) ὑδάτων, καὶ νιτρωδῶν μᾶλλον· εἶτα θειωδῶν· τὸ δ' ἄλλο λουτρὸν σπανίως παραλαμβανέσθω· θαυμαστῶς δὲ ὀνίνησιν αὐτοὺς καὶ προποδισμὸς ἐνδελεχὴς ἀψινθίου· καὶ σιναπισμὸς καὶ δρώπακες:—

## Περὶ ὑδέρων

Γίνεται ὕδερος· ἢ διὰ ψύξιν ὑπερβάλλουσαν τοῦ ἥπατος, ἢ διὰ πλῆθος ψυχροῦ καθόλου τοῦ ὑγροῦ πλεονάσαντος· ἢ τινῶν ἑτέρων μερῶν ἰσχυρῶς κακωθέντων· καὶ συμπαθῆναι τὸ ἧπαρ ὁμοίως ἑαυτοῖς δυναμένων· ἀνάγκη τοῦ καταψυχθῆναι τὸ ἧπαρ, οὐδαμῶς ἂν ὕδρωψ συνέστη· συνδιατίθεται δὲ τὸ ἧπαρ σπληνὶ κακωθέντι· καὶ κοιλίᾳ καὶ ἐντέροις· καὶ μάλιστα τοῖς κατὰ νῆστιν· πνεύμονός τε καὶ νεφροῖς· καὶ διαφράγματι· συνίσταται δὲ καὶ διὰ μέτριον αἱμορροΐδος κένωσιν· καὶ ῥόου γυναικῶν καὶ καταμηνίων ἐπισχέσεσι· διαφοραὶ δὲ τῶν ὑδρώπων, τρεῖς· ὁ μὲν γὰρ ἀσκίτης καλεῖται· καθ' ὃν ὑγροῦ λεπτοῦ πληροῦνται τὰ χωρία τὰ κάτω τοῦ θώρακος· ἄλλος δέ ἐστι τυμπανίας, πνεύματος τὰ προειρημένα χωρία μεστὰ ποιῶν· ὁ δὲ τρίτος ὑποσαρκίδιος μὲν ὀνομάζεται· πᾶν δὲ διοιδίσκεται τὸ σῶμα· καὶ τῶν νεκρῶν παραπλήσιον γινόμενον· ἔστι δὲ ἡ θεραπεία τῶν ὑδερικῶν οὐ παντάπασιν εὔκολος· καὶ χρῄζουσα τῆς τοῦ τεχνίτου περιουσίας· λεχθήσεται δ' ὅμως τινὰ πρὸς ἴασιν ἐπιτήδεια· τῶν δυναμένων καὶ ὑπὸ σοῦ πράττεσθαι. κα'

βόλβιτον βοὸς ἀγέλης ξηρὸν ἀκριβῶς λειώσας ἕψε ἐν ὀ-
ξυκράτῳ καθάπερ τὴν ὠμήλυσιν· καὶ θερμὸν ἔτι τοῦ ζωμοῦ μετρίως
προσεμπλάσας ὅλῳ τῷ τῆς γαστρὸς ἐπίβαλλε πόστ·
ἢ κόπρον αἰγὸς ἐν οὔρῳ παιδὸς λοιοῦ ποιῶν πάχος·
καταπλάττε δὲ τὰ γαστρὸς ἄκρως αὐτὰς καθαίρει· δίδου δὲ
καὶ πίνειν καθεψῶν τὴν ῥίζαν τῆς καλαμίνθης ἢ ὀλίγον
ἢ ἄγρου ῥίζης φλοιὸν ἐν οἴνῳ· ἢ σύκων ἀγρίων οἴνῳ ἀποβρέ-
ξας αὐτῆς ὡς ἡμέρας τρεῖς, δίδου κύαθον ἕνα προστι-
θεὶς κατὰ βραχὺ ἕως κυάθων τριῶν· ἢ λεπίδος χαλκοῦ δρ(αχμὰς)
τούτοις ἐν τοῖς· ἀναλαβὼν καταπότια ποιῶν, δίδου· σφο-
δρῶς ὕδωρ ἄγει· ἐπίθεμα τηλέως γ σ'· κηροῦ θείου ἀλα-
ρου γ τρία· κόπρου περιστερᾶς γ σ'· ῥυπ φύλλα τῆς ἰτέας·
ξουγγίου παλαιοῦ γ θ'· τὰ τηκτὰ τήξας καὶ τὰ λοιπὰ τῶν
ἄλλων προλελειωμένων· ἐν ὄξει· καὶ χρῶ·

περὶ σπληνός·

κε' Φλεγμονὰς σπληνῶν· ταχέως σκιρρουμένας τοῦ ἐν ταῖς φλε-
ψὶν αἵματος· σφηνωθέντος διὰ παχύτητα· χρὴ
τοίνυν λεπτυνόντων φαρμάκων ἀντὶ τοῦ σαφῶς θερ-
μαίνειν· οἷς βραχὺ παραπλέκειν δεῖ τῶν στυφόντων· ἵνα
τὸ μόριον σώζῃ τὴν οἰκείαν ἐν τάσει· τοῦτο δ' ἐστὶν αὐ-
τὸ φύσεως ἄλος ἄνθος· ἰώμενος σκίρρους σπληνῶν ἐ-
πιτιθέμενον ἐν κηρωτῇ· χρῆσθε δ' ἐπ' αὐτοῦ καὶ τοῖς ἰσ-
χυροτέροις φαρμάκοις· ἀνέχεται γὰρ αὐτῶν ἀλύπως·
καὶ ταῦτα τῆς ῥίζης ὁ φλοιὸς οὐδὲν ἔλαττον ὠφελεῖ σκιρ-
ρούμενα· σπλῆνας ἔξωθεν τε ἐπιτιθέμενος· κενοῖ
γὰρ οὕτω πλήθους παχέος καὶ γλίσχρους χυμοὺς· καθό-
τι ἢ καὶ αἱματώδεις· οὐ διὰ οὔρων μόνον· ἀλλὰ καὶ
διὰ γαστρός· καὶ τοῦ μικροῦ κενταυρίου ὁ χυλὸς· ἔξωθέ
τε ἐπιτιθέμενος καὶ πινόμενος· καὶ ἡ καλαμίνθος· καὶ
πρόσφατος ἐπιπλαττόμενος· καὶ ξηρὰ λεῖα ποιῶν αἱ

ῥίζαι μετ' ὄξους· ἄκρον· ἀμμωνιακὸν· κόπρος αἰγείου
καταπλαττομένη τε· καὶ ἔξωθεν ἐπιτιθεμένη μετὰ
σύκων· πήγανον θέρμον ἀφέψημα μετὰ πηγάνου καὶ
πεπέρεως πινόμενον· τὸ ἄλευρον αὐτῶν καταπλατ-
τόμενον σιδήρου διαπύρου πολλάκις ἀποσβεσθέντος ἐν
ὕδατι· πυρέσσουσι μὲν καθ' ἑαυτὸ πίνειν δίδου τὸ ὕδωρ.
ἀπυρέτοις δὲ μετ' οἴνου· καταπλάσσε· ἢ τέφρα σύκων κοχλί-
ου μετ' ὄξους· ἢ καππάρεως ῥίζα ὄξει βεβρεγμένη λεῖα ἀνει-
μένη κηρωτῇ κυπρίνῃ· ἢ ῥύπα ὄξους δριμέος ἐπιτί-
θει, καταπλάσσε· πίσσης γο α'· κυμίνου ἀγρίου
γο γ'· καρδαμώμου γο α'· σύκων λιπαρῶν λα'· πε-
ριστερεῶνος βοτάνης, γο α'· ἀποβρέξας τὰ σῦκα ὄξει
δριμυτάτῳ· καὶ εὐτόνως κόψας ἐν ὅλμῳ ἐπίβαλλε
τὰ λοιπά· καὶ ἑνώσας χρῶ·

## Περὶ τῶν ἐν νεφροῖς, καὶ κύστεως παθῶν·

Πωρώδεις περιττώματα λεπτότατα αἱματικὰ κατὰ κγ'
τὰς φλέβας ἀναμεμιγμένων ἕλκειν εἰς ἑαυτοὺς οἱ νε-
φροὶ πεφύκασιν· ἐπειδὰν οὖν οἱ πόροι, δι' ὧν ἕλκε-
ται τοῦτο πλέον τοῦ προσήκοντος εὐρυνθῶσιν· διηθεῖ-
σθαι τε τὰ λεπτὰ καὶ τῆς παχυτέρας ὕλης ἐκ· εἰ τε ἂν
τύχωσι πυρωδέστεροι τε καὶ δριμυτέρας οἱ νεφροὶ κρά-
σεως, ἀναγκαῖόν ἐστι τὴν παχυτέραν ὕλην θερμαινο-
μένην εἰς ἰδέαν ψαμμώδη καὶ πυροειδῶν λίθων συ-
νίστασθαι· τοῖς θρύπτουσιν οὖν καὶ τέμνουσι χρηστέαι
ἢ φαρμάκοις ἀντὶ τοῦ θερμαίνειν ἐπιφανῶς· κἂν γὰρ πλεί-
ων θερμότης συνίστησι μᾶλλον θερμαίνουσα:

## Θρυπτικὰ λίθων·

Ποῖα ταῦτα δ' ἐστὶν αἵ τε τῶν βασιλικῶν ἀσπαράγων ῥίζαι, καὶ κδ'
τοῦ βάτου· καὶ ὕελος κεκαυμένος· ἀδρόστεως τε ῥίζα·
καὶ τὸ ἀδίαντον· καὶ τὸ βδέλλιον· καὶ δάφνης τῆς ῥίζης

Καλλιάντου εχραυ· ιγ· ζ· ε· με·

ὁ φλοιός· καὶ αὐτῆς τὸ σπέρμα· καὶ ἐρεβίνθων οἱ κρι-
οί· καὶ μάλιστα οἱ μέλανες· κέρας τε καὶ ῥοῦ δ' ἐρυθροῦ·
καὶ κυνοκόμμι τὸ κόμμι· κυνοσβάτου ἡ ῥίζα καὶ παλλιού-
ρου ὁ καρπός· καὶ τριβόλου ὁ καρπός· οἵ τε ἀπὸ τῶν σπόγ-
γων λίθοι· καὶ τὸ δ' ἄλλης σκίλλης ὄξος· μαλάχης ἀγρίας
ῥίζαν· καὶ πηγάνου ἀγρίου ῥίζαν καὶ σελίνου ῥίζαν ἕψε
μετ' οἴνου· τὸ ὕδωρ ἐνθλίψας δίδου κυάθους δύο· καὶ
ὕαλος τὸ ἴσον· οἱ μὲν οὖν τοῖς νεφροῖς λίθοις ἐνι-
στάμενοι πεφύκασιν ἐκ τῶν πυρακμαζόντων· οἱ
δ' ἐν ταῖς κύστεσιν ἐπὶ τῶν παίδων:

## καταπλάσον, πρὸς λιθιῶντας:

Βαλσάμου καρπὸν λίθου ἐν τοῖς σπόγγοις τῇ ξηρᾷ· μα-
λάχης ἀγρίας τοῦ σπέρματος ξηροῦ ἴσον κόψας· σή-
σας, δίδου κοχλιάριον μετ' οἴνου κεκραμένου· κυάθων δύο:

## θρυπτικὸν λίθων

Ἐν κατὰ νεφροὺς φλεγμονῇ ἔχουσιν ἐξαίρετον αὐτὴν θερα-
πείαν· τὸ γὰρ ὀρρῶδες περίττωμα διὰ τούτων ἐκκαθαίρε-
ται· διὸ παρ' ἡμῶν ἐκ σμικροῦ· καὶ χυλῶδες τοῦτο κατὰ
πᾶν τὸ σῶμα· τῶν δ' οὐρητικῶν οὐδενὶ χρῆσθαι προ-
σήκει· βλάπτει γὰρ τὰ τοιαῦτα τοὺς δακνώδεις ἐπάγον-
τα χυμοὺς τοῖς φλεγμαίνουσι μορίοις· ὅδε μηδὲν
τοιοῦτον ᾖ, μηδὲ κακόχυμον ὑπάρχει τὸ σῶμα πάντων
μελικράτου διδόναι πίνειν ὕδαρες ἑψοῦ· λύει γὰρ τὰς
φλεγμονὰς ἀδήκτως κενοῦν τοὺς ἐσφηνωμένους χυμούς·
καὶ γὰρ τέμνει καὶ λεπτύνει καὶ ῥύπτει· τὰ δ' ἐπὶ μελικράτου γεγραμ-
μένα παραδείγματα ἐν ἀναγνῶναι δυνατόν· καὶ μεταφέρειν
ἐπὶ πάντα λεπτύνοντα· καὶ τέμνοντα χωρὶς δήξεως·
ὥσπερ δὲ πᾶσι τοῖς μορίοις φλεγμαίνουσιν, οὕτω καὶ τού-
τοις ἄμεινον τὸ ἡσυχάζειν· ἐπειδὴ ἀδύνατον ἡσυχάζειν
οὐρητικοῖς οὖσιν αὐτοῖς ὀργάνοις· ὀλίγιστον διδόναι δεῖ τό

ποτόν· ὅπερ ὡς δυνατὸν πλείονα χρόνον ἡσυχάζειν· σκεπτέον
~~πλέον~~ ἢ μήποτε τὸ πᾶν σῶμα μεστόν ἐστι δριμέων περιτ-
τωμάτων· τούτου γὰρ τυγχάνοντα, καὶ ἐπὶ τὴν κύστιν καὶ
τοὺς νεφροὺς ὑγρὰ φέρεσθαι μᾶλλον ἰᾶσθαι· πλεόνων δὲ δι-
δόντων τὸ ποτόν, ἧττον ἀμβλυνομένοις ὑπ᾽ αὐτῆς τῆς δρι-
μύτητος, καὶ μάλιστα μὴ γινώσκων ἡμῶν τῶν κατὰ δῆξιν ἀμ-
βλυνόντων· ἐν δὲ τῷ καιρῷ τῶν φλεγμονῶν καταπλάσμα-
τά τε καὶ φάρμακα προσάγειν· χρὴ καὶ ἀγνοοῦντε δὲ ἐ-
λαίου καὶ τῶν ἄλλων ὅσα φλεγμονὰς λύει·

πρὸς φλεγμονώδεις διαθέσεις τῶν νεφρῶν καὶ κύστεως :

λινόσπερμα ζα΄· δίδου ἐν ὕδατι κοχλιάρια συμμέτρως
πίνειν· ἀλλ᾽ ἢ μάλα ποικιλωτέρας καὶ ἐν διαλείμματι
ἀνωμάλως φρίκαι· πυρετοί τε ἐπὶ τούτοις ἄτακτοι συμβαί-
νουσιν ἐν νεφροῖς ἀπόστημα πεφθὲν πῦον διὰ οὔρων ἐκκρι-
θέν, ἕλκος ἀποτελεῖ· ταχείας χρήζων τῆς βοηθείας·
εἰ γὰρ μὴ εὐθὺς ἐπουλωθῇ, δύσκολον τὴν ἴασιν ἔχει· διο-
ρίζειν δὲ τῶν ἐν νεφροῖς ἑλκῶν τὰ κατὰ τὴν κύστιν ἔκ τε τῆς
θέσεως καὶ τῆς ἐνεργείας· καὶ τῆς ἰδιότητος αὐτῶν τῆς οὐσίας,
καὶ τῆς δυνάμεως· ἐκ μὲν τῆς θέσεως, κύστεως μὲν πασχούσης
ἐς κτένα καὶ ὑπογάστριον αἴσθησις γίνεται τῆς ὀδύνης· νεφρῶν
δὲ κατὰ τὰς ψόας ὀπίσω· ἐκ δὲ τῆς ἐνεργείας δυσουρία μὲν
καὶ στραγγουρία διὰ τὸ τῆς κύστεως τὴν αἰτίαν ἐχούσης·
ἀκώλυτοι δέ εἰσιν αἱ οὐρήσεις τῶν νεφρῶν πεπονθότων· ἐκ
δὲ τῆς τοῦ σώματος ἰδιότητος, σαρκώδη μὲν ἴσως ἐν νεφροῖς
διαχωροῦσι· λεπιδώδη δὲ ὑμενώδη τῆς κύστεως ἑλκουμένης·
ἐκ δὲ τῆς δυνάμεως, κύστεως μὲν ἰσχυρῶς ἀλγούσης καθ᾽
ταῖς ἑλκώσεσι· νεφρῶν δὲ ἀμυδρῶς· καὶ ὡς πρὸς εἰκὸς μὲν
ταῖς ψόαις βαρεῖς αἴσθησιν ἔχοντος· καὶ ἐν τοῖς οὐρητικοῖς
δὲ πόροις συνίστασθαι ποτὲ ἑλκώσεις, καὶ πύον οὐρεῖσθαι
καὶ αἷμα· κεῖνται δὲ οὗτοι μεταξὺ νεφρῶν τε καὶ κύστεως

αἰτίου ἢ ἑλκωθέντος, πῦον καὶ αἷμα διαχωρεῖται καὶ χωρὶς οὔρων:

πρὸς τὰ ἐν νεφροῖς ἀποστήματα, καὶ πύους ἑλ.

λινοσπέρμου καὶ σικύου σπέρματος· μήκωνος λευκῆς σπέρματος· βαλαυστίου ἀνὰ λί η· ἀμύλου ∠α· βροχίσκους ἔμπλαττε καὶ δίδου:

πρὸς τὰς ἐν κύστει ἑλκώσεις μετὰ φλεγμονῆς:

Στροβίλια νι· σικύου ἡμέρου σπέρματος κόκκους ν· νάρδου ἀνὰ ∠α· σελίνου σπέρματος ∠ε· ἐν ξέστῃ ὕδατος· ἕψεται νάρδου· ... εἶτα τοῦ ἀφεψήματος μίγνυται τοῖς προγεγραμμένοις κύαθοι δύο:

πρὸς τοὺς αἱμορραγοῦντας διὰ ἀπὸ κύστεως·

σχιστῆς ∠α· βαλαυστίου ∠η· κόμμεως ὀβελοί· ἐν τῷ ... δίδου:

κε περὶ σκληρίας νεφρῶν ἐκ τοῦ ῥούφου:

Ὅταν ἡ σκληρότης κατὰ νεφρῶν γίνηται, ὀδύνας μὲν οὐ κάρτα παρέχουσι· δοκεῖν δ' ὥσπερ τι βάρος αὐτοῖς ἐκ

κρεμᾶσθαι τῶν κενεώνων, καὶ νάρκη μᾶλλον ἰσχίον· ἀκρατεῖς ἢ σχεδόν· οὐροῦσι δὲ ὀλίγον· τὸ δὲ ὅλον ἔξιν τοῖς οἰδουμένοις μάλιστα ἐοίκασι· τούτους ἀπολαύειν ... καὶ μαλάγμασι καὶ ῥίζεσι· καὶ πυριάμασι· καὶ οὐρητικὸν προσφέρειν· καὶ τῷ ... ἀποκλύζειν:

περὶ ἀτονίας νεφρῶν·

κϛ Ὅσοις καὶ ἥδε ἡ νόσος νεφρῶν· οὐ δύναται οὐρεῖν· ἀλλ' ἀλλότριοι ὄντες, χαλῶσι τὸ τοῦ αἵματος ἐκ τῆς φλεβός· καὶ ἄλλας παχύτητας ἐῶσι· τούτοις σύμφερει στρυφνῶν· καὶ

ἢ μελανοί οἴνου· καὶ τῶν οὐρητικῶν ἀπέχεσθαι· καὶ μάλιστα πολυγόνου χυλοῦ· καὶ βαλαυστίου ἐν οἴνῳ βεβρεγμένης· καὶ συμφύτου τῆς ῥίζης τὸ ἀφέψημα· ἐπιτίθεσθαι δὲ καὶ τῆς ὀσφύος ἔξωθεν τὰ πρὸς τοὺς ῥοῦς· καὶ τὰς πλύσεις τοῦ αἵματος. μετὰ δὲ ταῦτα, ἀναφέρειν γάλακτι ὄνου· καὶ σιταρίαν

Καὶ ἡ ῥεάσιν· εἰ ἢ κατὰ περίοδον αἵματος οὔρησις γίνεται,
πρὶν μὲν κενωθῆναι τοῦ αἵματος βαρεῖς καὶ ὀσφύων καὶ
ἀσ ἐπώμων, κενωθέντες δὲ ὑποκουφίζονται· χρὴ οὖν φλέβα
τέμνειν ἐνάγκαντι ὀλίγῳ πρὸ τῆς περιόδου· διαιτᾶν δὲ
ὥστε πληθώραν μὴ ἐγγίνεσθαι.

περὶ ψωριάσεως κύστεως.

Ὅταν πιτυρώδη λέμματα μετὰ τῶν οὔρων ἐκκρίνονται, κζ
σημαίνει ψωριᾶν τὰς φλέβας· ἢ τὴν κύστιν· διορισθήσεται
δὲ καὶ λεπτότητι· καὶ τῷ πάχει τῶν οὔρων· τὰ μὲν γὰρ λεπτὰ πε-
πονθέναι τὰς φλέβας ἐνδείξεται· τὰ δὲ οὐ λεπτὰ τὴν κύ-
στιν.

περὶ φλεγμονῆς κύστεως· ἐκ τῶν ῥούφου

Χαλεπώτερον καὶ θανατωδέστερον ἐστὶ φλεγμονὴ κύστεως. κη
πυρέττουσι γὰρ ὀξέως καὶ ἀγρυπνοῦσι καὶ παραπαί-
ουσι· καὶ ἐμοῦσι χολὴν ἄκρατον· καὶ οὐρεῖν οὐ δύνανται
τούτων. δεῖ οὖν φλέβα τέμνειν, μὴ ἐς μακρὰν τε-
μνειν· καὶ τοῖς ἐπιβρέγμασι σικυωδῶς θερμαίνειν· ἑψηθῶ
ἢ καὶ τῷ ἐλαίῳ πήγανον καὶ ἄνηθον· καὶ ἀλθαίας ῥίζα· καὶ
ἡ κοιλία ἐπικλυζέσθω μαλακοῖς κλύσμασι· ἄμεινον δὲ
ἢ καὶ μήκωνος σὺν ζωῷ τῷ δὲ ἐλαίῳ· καὶ χηνὸς στέαρ δ᾽ ἀλη-
κων· ἢ ὄρνιθος ἐγχέων· εἴωθε ποτὲ καὶ ὀπὸς μήκωνος
ἡμιωβόλου μετὰ σμύρνης· καὶ κρόκου ὀλίγου διαλύσας
εἰς ἔλαιον ὑπέθηκα· ὡς τοὺς πεσσοὺς ταῖς γυναι-
ξί· καὶ παραχρῆμα ἥ τε ὀδύνη ἐπαύσατο· καὶ ἐκοιμή-
θη ὁ αὐτὸς καὶ πυρίαις ἢ χρῆσθαι ξυμφέρει· καὶ ἐς ὕ-
δωρ θερμὸν ἐγκαθίζειν· ἔσω ἢ ἀφέψημα λινοσπέρμου,
καὶ τήλεως τὸ ὕδωρ· καὶ κηρωτὴν ἐπιτιθέναι δι᾽ ὑσσώπου
καὶ κασσορίου πεποιημένας.

περὶ ῥήξεως ἀγγείου, ἐν κύστει·

Ὁ ξανθὸς ἐστὶν ἐν κύστει καὶ ῥῆξις ἀγγείου· τοῦ δὲ αἵματος κθ
τὸ μὲν, ἔξω διαδίδοται· τὸ δὲ ἔσω πήγνυται· προσέξου

τὴν αἱμορραγίαν, προσάξεις τοιαῦτα ἴσα ἐπὶ τῶν ἄλλων
αἱμορραγιῶν· πίνειν δίδους τά τε ἐπὶ τῆσδε τὰ φάρμακα
καὶ ἔξωθεν ἐπίβαλλε· εἰ δὲ πήγνυται τὸ αἷμα ἐν
κύστει· τὰ μὲν πρῶτα πειρᾶσθαι λύειν αὐτὸ φαρμάκοις· τῆς
τε ἀρτεμισίας διδοὺς πίνειν καὶ τοῦ ἑλιχρύσου· καὶ τοῦ ὀποῦ
τοῦ κυρηναϊκοῦ· καὶ τοῦ σιλφίου καὶ τῆς κονύζης· καὶ τοῦ
ἀψινθίου· καὶ ῥαφανίδος τοῦ σπέρματος δι' οἴνου· με-
τὰ ταῦτα εἰ μὴ λύοιτο, τέμνειν κάτωθεν τὸν περίναι-
ον· ὥσπερ ἐπὶ τῆς λιθιώσης κύστεως· καὶ κομίζομεν τοὺς
θρόμβους· τὰ δ' ἄλλα ὡς τὰ αἱμορραγικὰ θεραπεύειν πειρᾶ-
σθαι:—

## Περὶ τῶν ἐν κύστει φυμάτων

λ' Τὰ δὲ ἐν κύστει φύματα πεπαίνεσθαι χρή, τό τε κραταιοῦ-
σον ὅτι ἀρχομένων πειρᾶσθαι διαλύειν· ἵνα μὴ εἰς ἐκπύησιν
τραπῇ· εἰ δ' ἀδύνατον ἤδη πεπαίνειν· ἐν οἷς καὶ τοὺς νεφρούς
φαμὲν προσέτι καταπλάσμασι καὶ ἀλεύρῳ ὀροβίνῳ· μετὰ
μέλιτος καὶ περιστερεῶνος, μετὰ ἰσχάδων καὶ τοῖς πυ-
ριάμασιν:—

## Περὶ τῶν ἐν κύστει ἑλκῶν:—

λα' Τῶν ἡλκωμένων τῶν ἐν τῇ κύστει, θεραπεία ἡ αὐτὴ τοῖς κατὰ
νεφροὺς ἑλκώδεσι· μεγίστη δὲ κἀνταῦθα αἱ γαλακτοπο-
σίαι· καὶ ἡ ὑπόλοιπος χρῆσις διαίτα· παρηγορεῖν δὲ καὶ φάρ-
μακον· τοῦτο μὲν ἄνωθεν τῷ τρόπῳ λαμβανόντι καὶ
κηρωτῇ· διά τε ὑσσώπου πλυτοῦ· καὶ βουτύρου καὶ στέα-
τος καὶ χηνείου στέατος· τοῦτο δ' εἰς τὸν οὐρητῆρα ἐγχέας τὸ
ὕδωρ· καὶ γάλα καὶ ῥόδινον θερμαίνοντα· τοῦτο δὲ καὶ εἰς
τὰ ἔντερα ἐγχέοντας, πτισάνης χυλῷ καὶ βουτύρῳ καὶ
σηπίου ~~ὄστρακα~~ μετὰ γάλακτος τετριμμένον, ἐπιστάζειν
ἕκαστον τοῦ ῥοδίνου· κλύζειν δὲ ἐν τῷ ἀνακλίνεσθαι· οὕτω γὰρ ἀ-
φίστανται αἱ κύστεις· καὶ χαλᾷ τὸ ἔντερον, ὥστε προσκύπτειν
δέξασθαι τὸ κλύσμα· πυκνὰ καὶ εἰς θερμὸν ἐγκαθίζειν· καὶ

Τὰ ἄλλα ὥσπερ εἴρηται περὶ τῶν ἐν νεφροῖς ποιεῖν.

## περὶ διαβήτου ἐκ τῶν Γαληνοῦ. πβ

Ἐμοὶ δοκοῦσιν οἱ νεφροὶ πεπονθέναι. καὶ καλεῖται τὸ πάθος
ὑπό τινες μὲν ὕδερον εἰς ἀμίδα. τινὲς δὲ διάρροιαν εἰς οὖρα.
τινὲς δὲ διαβήτην. ἔνιοι δὲ διψακὸν ὀνομάζουσι. σπανιώ-
τατα γινόμενον. διψῶσί τε γὰρ ἀμέτρως οἱ ἐν τῷ πάθει
τούτῳ τυγχάνοντες. καὶ πίνουσι δαψιλῶς τοῦτο δ' ἀθρόως
οὐροῦσι τὸ ποθὲν ἐν τάχει τοιοῦτον. οἷον ἐπόθη. ἀτονί-
α δ' αὐτῆς αἰτία ἀρρωστία τῶν νεφρῶν.

## διαβήτης, ἐκ τῶν Ῥούφου. πγ

Μέγιστον ἴαμα τοῖς νοσοῦσι πίοντα, ἐξεμεῖν αὐτίκα. πίνειν
δὲ ὡς ψυχρότατον. καὶ τῇ ἄλλῃ δὲ διαίτῃ ὡς ψυχροτάτῃ χρῆσθαι.
τῶν τε ψυχομένων λαχάνων ἐσθίοντα. καὶ κυκεῶνα
πίνοντα. καὶ πτισάνης χυλὸν ῥοφοῦντα. οὐρητικὸν
δὲ μηδὲν προσφέρειν. ἀντισπᾶν δὲ εἰς ἱδρῶτας. ἄριστον δὲ
ἐν πίθῳ πυριᾶν τὸ ὑποχόνδριον ἄνω τὴν κεφαλήν. ὥστε τὸ
μὲν ἄλλο σῶμα θερμαίνεσθαι. ψυχρὸν δὲ εἶναι τὸν ἀέρα. καὶ
τὰ ἄλλα ὥσπερ καῦσον θεραπεύειν. τῶν τε σύκων παλαιῶν τοῦ
ἀλφίτου φυράσας, ὄξει καὶ ῥοδίνῳ καταπλάσσειν τὸ ὑπο-
χόνδριον. καὶ φύλλα ἀμπέλου τρίψας ἁπαλά. καὶ
κοτυληδόνος καὶ ἑλξίνης. καὶ ἀνδράχνης, καὶ ὅσα ἄλλα
προποτίζεσθαι. πολὺ τὸ χυλὸν συνεχῶς. καὶ ἑλένιον ἐν
οἴνῳ μέλανι. καὶ φοινίκων ἀπόβρεγμα. καὶ μύρτων.
καὶ ἀπίων. κατὰ τὰς ἀρχὰς δὲ καὶ φλεβοτομεῖν ἐν ἀγκῶνι. χρησό-
μεθα δ' ἐνίοτε καὶ τοῖς ἱδρωτικοῖς φαρμάκοις.

## περὶ τῶν ἐν αἰδοίοις καὶ ἕδρᾳ. πδ

Τὰ ἐν αἰδοίοις ἕλκη. καὶ τὰ κατὰ τὴν ἕδραν χωρὶς φλεγ-
μονῆς ὄντα. ξηραινόντων πάνυ δεῖται φαρμάκων. οἷα
ἐστὶ τό τε διὰ τοῦ κεκαυμένου χάρτου. καὶ ἄνηθον κε-
καυμένον ξηρόν. καὶ κολοκύνθη κεκαυμένη. τοῖς

δὲ ἀνίκμοις, καὶ προσφάτοις τῶν ἑλκῶν· καὶ ἡ ἀλοὴ φαρ-
μακον ἀγαθὸν ἐπιπασσόμενον ξηρὸν χνοῶδες· πάντων δὲ αὐτῶν
ἀνωδυνώτατον καὶ οὐδενὸς ἧττον δραστήριον ὁ πομφόλυξ ἐ-
στίν· ἡ δὲ ὑγρότερα τὰ ἕλκη, πίτυος ὁ φλοιὸς καθ᾽ ἑαυτόν· καὶ
λίθος αἱματίτης· ἡ δὲ καὶ βάτος αὐτοῖς τοῖς εἰρη-
μένοις μᾶλλον ἔτι πλέον· αἱ δὲ κατὰ μὲν τὴν δύναμιν ἐοικυῖαι
τῶν αὐτῶν δέονται φαρμάκων· ὀργανικῶν χρήζουσι τῶν
ἴσως παραπεμπόντων ἀλλὰ διὰ τῶν τοπικῶν καλουμένων
φαρμάκων· ἐπιτηδειότερον τὰ ξηρότερα· οἷον ἐστὶν ὁ κρό-
κος· καὶ πομφόλυξ· καὶ ἀλοὴ μιγνύμενα ῥοδίνῳ· ἢ
[illegible]· ἢ θατέρῳ τοιούτῳ χυλῷ.

πρὸς τὰς τῶν διδύμων καὶ αἰδοίων διαθέσεις

λθ´ Πρὸς τὰς τοῦ αὐχένος αἰδοίου πόνους βουτύρῳ καὶ ῥητίνῃ
ἴσῃ χρῶ· ἢ λινοσπέρματι μεθ᾽ ὕδατος ἑψηθέντι καὶ μίξας
σμύρνης δέκατον μέρος· καὶ ῥητίνης ἴσον κατάπασσε.
πρὸς ἕλκη τοῦ ὀρθοῦ αἰδοίου· ἀμπέλου φύλλα ξηρὰ καὶ
λιβανωτοῦ ζα· λιθαργύρου ζε· λεῖα ἢ κατάπλασσε.
χρῶ δὲ καὶ ταύτῃ στυπτηρίᾳ θαλάττῃ ψυχρᾷ· καὶ ἀναπαυέσθω.
καὶ ἀναδώσεται τοῦ καυλοῦ ἐὰν ἢ ἀπὸ ἱδρώτων ἕλκη ἐν ἰσχίοις γένηται.
κιμωλίαν· ἢ στυπτηρίαν ἐπίπασσε· πρὸς ἕλκη ἐν αἰ-
δοίοις φυόμενα θύμια ἐλατήριον ἐπίπασσε· ἀτοίου αὐ-
μα λεῖα ἐπιτίθει· ἢ μαινίδων εἴκοσι καὶ ἐκ κεφαλῶν
λεῖα, ἐπίπασσε· καὶ βαλαυστίων χυλοῦ μετὰ χρίε.
καὶ ῥαγάδας ἕλκη ἐν αἰδοίοις ὠφελεῖ ῥητίνη φρυκτή
σὺν ῥοδίνῳ καὶ βδελλίῳ ἀχείρου λιθαργύρου μιγνυμένοις.
καὶ ὠοῦ λεκύθου ὀπτῆς· κισσοῦ φύλλα ξηρανθέντα καυ-
μένων, ἢ τέφρα καὶ βδελλίῳ ἐλαίῳ σὺν θυΐᾳ μολιβδίνῃ.

πρὸς τὰς τῶν διδύμων φλεγμονάς.

λϛ´ Σταφίδας ἐκ τισ τῶν ἴσως μὲν, καὶ κύμινον λεῖα ἐπιτίθει.
ἢ ἄλευρον κρίθινον ἀπόβρεξον σὺν μελικράτῳ. ἢ ἀμπέλου

φύλλα ἁπαλὰ τρίψας μετὰ ἀλφίτου κατάπλασσε· ἐπὶ τινῶν δὲ
ἢ κυμίνου τρίψας μετὰ βουτύρου καὶ ῥητίνης ἴσον τακέντων
πρὸς τοὺς ἀφθῶδας διδύμους· τὴν κηκῖδα μεθ᾽ ὕδατος
προκαταχρίσας· ἕως ξηρανθῶσιν· ἢ καὶ καταντλῶν
ὕδατι θερμῷ μυρσίνην ξηρὰν λεῖαν· καὶ σμυρνίου
σμικρόν· καὶ τρίψας κατάπλασσε. τὰς δὲ σκληρώδεις
τὰς ἐπὶ τῶν διδύμων, τέφρα κληματίνη σὺν νίτρῳ καὶ ὕ-
δατι φυραθεῖσα ἰᾶται καταπλασσομένη:

## περὶ γονορροίας· καὶ σατυριασμοῦ λβʹ

Γονόρροια σπέρματός ἐστιν ἀπόκρισις ἀκούσιος ἐπισυνεχὴς
γινομένη, χωρὶς τῆς κατὰ τὸ αἰδοῖον ἐντάσεως. ἐπὶ δὲ
τοῦ σατυριασμοῦ πάλλεται τὸ αἰδοῖον· ὥσπερ καὶ ἕτερόν
τι τοῦ σώματος πάλλει· καὶ εἰ μὴ παύσαιτο ὁ παλμὸς τοῦ
αἰδοίου κατασκήπτει ἔξωθεν εἰς πύρεσιν τῶν σπερματικῶν
ἀγγείων· ἢ σπασμῶν. σύντονον δέ ἐστι τὸ αἰδοῖον ἐν τοῖς σατυ-
ριασμοῖς διὰ παντός· καὶ ἀπολλύνται ὀξέως οἱ οὕτω πα-
θόντες· τελευτῶντες δὲ φυσῶν γαστέρα καὶ ἱδροῦσι ψυχρῷ·
ὁποία καταλαμβάνει καὶ τοὺς ἐπὶ τοῖς ἄλλοις σπασμοῖς ἀ-
πολλουμένους. ἐστὶ τὸ νόσημα, σπάνιον μὲν· καὶ γυναι-
ξὶ δὲ συμβαῖνον. ὅταν οὖν πάλλῃ τὸ αἰδοῖον, τέμνειν χρὴ
τὴν φλέβα· καὶ διαιτᾶν ἐφεξῆς λεπτῶς τε καὶ ἀοίνως δι᾽ αι-
τῶν· καὶ καθαίρειν μηδέποτε· ἰσχνοῦν δὲ ἐκ σύχν. ἄ-
ρισον ἢ σάκλον καὶ μαλακήν· καὶ τῆς λινοζώστιδος· ὀλί-
γον τούτοις μιγνύμενον· ἢ τῶν κολχαρίων ὁ ζωμός· ἢ κανίον
~~κακίνου~~ ἢ ἁπλῶς κλύζειν· τὰς δὲ οὐρητικὰς δυνάμεις
φυλακτέον· ἐπιφέρειν δὲ καὶ τῇ ὀσφύϊ τῶν ψυχόντων.
οἷον στρύχνου χυλόν· ἢ ἀνδράχνης· ἢ ὑοσκυάμου· κω-
νείου· ἀναγκαῖον δὲ καὶ τὸν καυλόν· καὶ τὸν ποθεῖναι
ον τῶν πραϋνόντων ψυκτηρίων τινὰ καταχεῖν· οἷον
λιθαργύρου· καὶ κιμωλίας· καὶ ψιμμυθίου· ὀξείδε

δεῖ εἶναι πᾶν· ἢ ὕδατι· ἢ οἰνογλυκεῖ· ἢ σιραίῳ· ὕπτιος
δὲ ἀναπαύεσθαι, βλαβερόν· πινέτω δὲ φάρμακον
τὸ τῆς νυμφαίας ῥίζαν καὶ ἶριν· τοῦ δὲ πηγάνου σπέρμα(?) —
φέρειν· ἢ τὸ διὰ τῶν ὀροβίνων(?)· ἢ τὸ διὰ σατυρίων τι:

## περὶ ὀνειρώξεως

λη΄ Τοὺς δὲ ὀνειρωγμοὺς κωλύειν χρή· διαίτῃ τε ἐνδεεστέρᾳ
καὶ πάντων θερμαινουσῶν(?)· καὶ ὅπως φυλακτικῇ· προ-
σωφελεῖ δὲ ἡ ἐστρωμένη ἢ ψυχρότερον ἢ κλίσις σώματος ἐπὶ δε-
ξιὰ ἢ ἀριστερά· καὶ τὰ φάρμακα ψυχρὰ ὑποχριόμενα
τῇ ὀσφύϊ· προσωφελεῖ δὲ καὶ τὰ ὁποῖα ἐστὶ τό τε κηρά-
νον(?) καὶ τὸ σχῖνον· καὶ τὸ κώνειον· καὶ τὸ ψιμμύθιον· καὶ ἡ ἀνδράχνη
πάντα δὲ μετὰ τοῦ ὄξους ἄμεινον:

## περὶ πριαπισμοῦ

λθ΄ Πριαπισμός ἐστιν αὔξησις αἰδοίου μόνιμον εἰς μῆκος τε
καὶ κύκλον οἰκουμένου χωρὶς ὁρμῆς τῆς πρὸς τὰ ἀφρο-
δίσια· φυσῶδες δὲ ἐστὶ πνεῦμα δηλονότι τὸ ἐξογκοῦν
τὸ μόριον· γινόμενον ἐξ ὀμμάτων τῶν ἰσχνῶν καὶ παχέων
ὑπὸ θερμοῦ· πρόδηλον οἶμαι ὡς δεῖ τὰ μόρια θερμαίνειν.
ἀλλὰ ψύχειν· ἐπιτήδειος δὲ καὶ ἡ ῥοδίνη κηρωτὴ μεθ' ὕδατος
ἀνακοπτομένη· καὶ διὰ τοῦ χαμαιμήλου, τῷ δὲ αἰδοί-
ῳ καὶ ταῖς ψύαις· ἐπιτιθέναι τὰ δὲ καὶ διαίτῃ καὶ φαρ-
μάκοις προσάγειν· τῆς λεπτυνούσης δυνάμεως ἀλλὰ
τοῦ θερμαίνειν ἐπιφανῶς· προσάγειν δὲ καὶ τὰ φύσιν
ἔχοντα τὰ διὰ τῆς πέτρας ἡψημένα· καὶ τὸ τῆς νυμφαίας
πίνειν διδόναι· καὶ τοῦ λίνου τὸ σπέρμα· καὶ πήγανον
χλωρὸν τοῖς ὄψοις μιγνύντα· τοῦτο δὲ καὶ τὰ ὄρχεις μὴ δι-
δόναι· θερμαίνει γὰρ ἱκανῶς· ἀλλ' ὕστερον μετὰ τῶν
χρυσοῖν τῶν ἄλλων λεπτυνόντων· κενοῦσθαι δὲ χρώμενον δι'
ἐμέτων τοῦτο ποιεῖν· αἱ γὰρ διὰ τῆς κάτω γαστρὸς ῥευ-
ματίζουσι πολλάκις τὰ γεννητικὰ μόρια:

## περὶ αἱμορροΐδων.

Εἰς ἂν μάλιστα τοῦ δέοντος αἱμορραγοῦσιν ὑστεροῦσθαι τὴν
ἕξιν συμβαίνει· καὶ τὰς ἕξεις εἶναι πονηροτέρας καὶ ἀπιστοτέρας μ'
τῶν ἢ οὕτω διακειμένων, καὶ αἱ θεραπεῖαι ἐργωδέστεραι· κίν-
δυνος γὰρ ἐπισχεθέντος ποτὲ τοῦ αἵματος λάβρου τῆς αἱμορ-
ραγίας οὔσης καὶ ἔνδειαν καὶ ἀσθένειαν παθεῖν τινι· διὰ
τοῦτο πλειόνων οὐσῶν τῶν αἱμορροΐδων· μίαν ὑπολείπε-
σθαι χρὴ καὶ θαρσεῖν ἕνεκα· ἄλλαι ἢ ἔσω ἀνωτέρω καὶ
μὴ φαινόμεναι δυσιατότεραι οὖσαι· αἱ τυφλαὶ ἀποκρί-
νουσί τι αἱματῶδες· οὐδὲν ἐπώδυνοι ἢ μᾶλλον ἐκ τῶν εἴ-
σω· κυκλαμίνου χυλὸς αἱμορροΐδας ἀναστομοῖ κατα-
χριόμενος·

### πρὸς τὰς τῆς ὑστέρας διαθέσεις.

Πρὸς τοὺς ἀπὸ τῆς ὑστέρας πνιγμοὺς ἁρμόζει πινόμενον ἀ-
γαρικοῦ γα' ἐν οἴνῳ· ἀρνογλώσσου καρπός· καὶ χυλὸς μα'
σὺν οἴνῳ· ὄνυξ ὡς καὶ σχλίου πινόμενος· ὄξος σκιλλητικὸν
καταρροφούμενον· ὀσφραινόμενα, δὲ τρίχες καπνιζό-
μεναι, ἄσφαλτον· καστόριον· χαλβάνη· πίσσα ὑγρά· κέδρια·
ἐλλύχνια ἀπτόμενα καὶ ἀποσβεννύμενα· τρίχες καιόμεναι·
πήγανον· σίλφιον· κρόμμυον· ἀποθυμιᾶσθαι ἢ προστιθέ-
μενα, γαγάτης λίθος· ὄνυξ ἀπὸ τῶν πορφυρῶν· ἄσφαλτος·
καστόριον· χαλβάνη· σίλφιον· κέρας ἐλάφου· προστίθεται
ἢ κατὰ τοῦ δακτύλου, πήγανον σὺν μέλιτι· ἔσω ἀναλη-
φθέν·

### περὶ ὑποκαθάρσεως.

Πρῶτον μὲν διασφίγγειν τὰ ἄκρα προσήκει· διδόναι δὲ πιεῖν
αὐταῖς ὀξύκρατον· καὶ πρόσθημα δὲ ἐγχριέσθω ὀξυκρά- μγ'
τῳ· καὶ ψυχὰς σὺν τῷ ὀξυκράτῳ λαμβανέτω· ἢ ᾠὸν ἁπα- λ ἢ χόνδρον πλυτὸν ἢ ὄρυζαν
λὸν χυρόν· εὐτόπως ἢ φαρμάκων πρὸς αἱμορραγίαν, δι-
δόσθω πίνειν βαλὼν μετὰ ὀξυκράτου· ἢ ὑποκυστίδα· ἢ ἀκακίας
χυλόν· ἢ τῆς σαμίας γῆς ἀστέρα· πάντων ἢ καθ' ἑκάστην
ὀξυκράτῳ βρεχόμενος ἄχρις οὗ γένηται ἁπαλός· εἶτα

ἐσθιόμενος· καὶ τὸ ῥέον ἐπέχει μετὰ ὀξυκράτου· καὶ προσ-
τιθέμενον δεξιὰ τοῦ γυναικείου κόλπου κόλπους ἐλλείχεσθαι·
μορραΐδας· ὡς ὅτης ὑπὸ κυνοσβάτου χυλός· καὶ ὁ τῆς ἀκακίας με-
τὰ ὄξους καὶ μήκωνος λεανθέντα· ἀρκεῖ δὲ θαυμαστῶς καὶ
σπόγγος καινὸς ὑδροπιατιζόμενος καὶ λίθος προστιθέ-
μενος· καὶ φελὸς δὲ ἐκ τῶν κεραμίων τῶν παλαιοτάτων καυθ-
εὶς· μέχρις ἀνθρακωθῇ· τρίβεται· καὶ τὰ ἀκμαῖα, τῷ
τόπῳ ἐπιπασσέσθω· τὸ δὲ ἐκ πεσσῶν ὑποτίθεται· ~~σὺν~~ συλλ-
αμβάνει δὲ εἰς ἐποχὴν τοῦ αἵματος καὶ τὰ ἔξωθεν ἐπιτιθέ-
μενα· μάλιστα δὲ τὸ διὰ τῆς ταυροκόλλου· ταυροκόλλου γὰρ καὶ
καὶ δι' αὐτῆς ἐν ὀξυκράτῳ βρέχεται μέχρι διαλυθῇ· εἰς
ῥάκος ἐγκλίνεται ἐμπλάσσεται· καὶ κατακολλᾶται τοῦ τε ἤτρου
καὶ τῆς ὀσφύος· ἐνδίδουσι δὲ πρὸς τοῦτο καὶ αἱ κοιλιακαὶ ἔμ-
πλαστροι:

μδ μὴ κυϊσκομέναις θεραπεία

Δίαιταν μὲν χρὴ τὰς γυναῖκας, μήτε ἀπόνως· μήτε ταλαι-
πώρως· μήτε διαπλήστου· σιτία δὲ ποτὰ ὀρεκτικῶν
προσφερουσῶν ἀπέχεσθαι· τὸ ἐμμήνιον μεῖζον, μὴ προσφορᾶς πι-
ἢ μήτε τοῦ ἀνδρὸς αινόμενον τὸ σῶμα· μήτε τῆς γυναικείας· οὔτε γὰρ ὀ-
πίων ἀνὴρ ἐπιτήδειος εἰς παιδοποιίαν, διὰ τὸ μὴ ἐρμο-
ζειν τοῖς αἰδοίοις καὶ ὀλίγον σπέρμα ἀφιέναι τοὺς πίονας·
οὔτε τὸ ἄγαν λεπτυνθῆναι κυητικήν, δῆλον ὅτι ὥσπερ ὕδωρ
ἢ ἕτερόν τι ἐκκρίνεται ὡς ἄτεκνον· φυλάσσεσθαι· φυλακ-
τέα δὲ καὶ τὰ ἀπὸ χρόνων ὑλαστικά· καὶ ὁ ἄλλας κλυ-
σμοὶ καὶ ἀλμυρά· καὶ λίτρον· καὶ τὰ διαχωροῦντα· πλὴν
εἰ κωλύει κοιλίαν διὰ ἀσθένειαν· ὠφελεῖ δὲ οὖν πάντα τὰ
θερμαίνοντα καὶ κοινῶς αἱματοποιοῦντα· οἶνός τε
οἴνῳ πρὸς ὑδροποσίαν ἐπαινεῖν· λαχάνων τὸ ὅρμι-
νον· καὶ τὸ ἐρύσιμον· καὶ τὸ ἄζωμον· καὶ εἴ τι ἄλλο προ-
σάπτεται μίσγεσθαι· πήγανον δὲ καὶ μῖν· πάντων μᾶλλ-

φυλακτέον

φυλακτέον· χρὴ δὲ πλησίον ἡκούσης τῆς καθάρσεως τῶν
μηνῶν δύναμιν, καὶ διὰ τὸ λεπτότερον διαιτωμένην, ἀφαιροῦσαν
τῆς τροφῆς· τὴν δὲ ἀναιμοτέραν προστιθεῖσαν· καί τι τῶν ἀρε
θιστικῶν εἰς κατάθαρσιν λαμβάνουσαν· οἷά ἐστι τάδε· λώ
δη λάχανα καὶ τὰ δριμέα· ταῦτα γὰρ τὴν ὑστέραν αἴρει· καὶ
μάλιστα σπονδύλιον· καὶ τὸ κρίθμον· καὶ τὸ μάραθον· καὶ τὸ σέλ
ινον· καὶ τὸ σμύρνιον· εἰ δὲ διὰ κακοχυμίαν τινὰ μὴ κινοῖ
το, ταύτην ἐκκαθαίρειν· ἢ κατὰ κίρναν τὴν χρῆσιν διαι
τῆ· εἰ δὲ διὰ ψυχρότητα τῆς ὑστέρας μὴ γίνοιτο σύλληψις, τά τε
ἄλλα κατὰ πονοῦσαν· καὶ πυρίαις πάσαις πυριωμένην,
ἀνακαλεῖσθαι τὸ θερμόν· καὶ οὐδὲν ἄπορόν που κεστόριον πί — ἢ καστόριον
νειν· καὶ τῶν λοιπῶν ἀποθερμαντικῶν, τὸ λεπτομένον καὶ ἄνισον.
καὶ τὸ λίχους κόμην· καὶ σπερματιδῶν καρπόν· ἑκάστω πε
πέρεως σπιτοῦσα· κάλλιον δὲ χρῆσθαι τάδε τῶν φαρμά
κων, ἐπίθυμον· εὐφόρβιον καὶ πέπερι· καὶ δαύκου σπέρ
μα· καὶ πετροσελίνου σπέρμα· πάντα ῥίζας ὅσαι κε
δοῦνται ποιεῖν· τοῦτο καὶ τὴν μήτραν ἐρεθίζει καλῶς· καὶ τὴν ὑ
στέραν θερμαίνει· ὥστε πολλὰ ἤδη καταμήνια ἔρρηξε
τέως οὐ καθαιρομέναις· εἰ δὲ μὴ ἐξ ὀργῆς καθήραι κατὰ ἐμέ
τους· τὸ γὰρ κατὰ φλέγμα κενοῦν, πάντας τρόπους συμφέ
ρει· αἱ δὲ αὐταὶ τῶν ὑστερῶν πυρίαι· τοῦτο μὲν ἀτμοὶ ἔ
σωθεν· τοῦτο δὲ θερμὸν ὕδωρ τοὺς ἐξ οἴνου ἀτμούς, κα
λῶς δέχεσθαι καθίζουσαν ἀπὸ δίφρου· τὸ δὲ ὕδωρ προσ
κλύζεσθαι· ἔχουσαν ἐν αὐτῷ ἐλελίσφακον· καὶ ἀρτεμισίαν
καὶ πήγανον· καὶ πράσον· καὶ γλήχωνα· καὶ ἄκορον· τὰ δὲ αὐ
δη ἀποθερμαντικά· κατάπλαστα ἢ καὶ τὸ ἴσον τούτων ἑκάστω
ἀγαθὸν ἢ καὶ τὸ τοῦ πολυάρχου ἐπίθεμα· αἵ τε μὴν ὑπὸ
τὰς τὸ δίζου καὶ τῆς ὀσφύος· οὐδενὸς ἧττον συμφέρει· καὶ
προσθετέον ἢ προστίθεναι τὴν ὑστέραν τῶν θερμαινόν
των· τὰ δὲ προσθετὰ ἔσω διὰ σμύρνης καὶ πηγάνου, καὶ

χαλβάνης· καὶ κάστορος πεποιημένα· χρὴ δὲ πρὸ τοῦ πυρὶ
ἀθροίσαν μιγεῖν κράτῳ ἢ θαλάσσῃ μετὰ καὶ ταῦτα δὲ αὐτήν.
πολλὰ δὲ διὰ ὀξέους συγκεκραμένῃ προστίθεσθαι φάρμα-
κα· καὶ δὲ λούσαν ὀθονίῳ λεπτῷ ἢ ἐρίῳ μαλακῷ· ὅ-
πως μήτε τὸν χρῶτα δάκνῃ καὶ ἑλκοῖ προσκαθίζον-
τα· τεκμήριον δὲ τὰς ψυχροτέρας τῶν ὑστερῶν· ἢ τοῦ σπέ-
ρματος ἐπισχέσεις καὶ διὰ τὰ οὐχ ἑτοίμως ὑπὸ πάχυτος, καὶ
τὴν ὄρεξιν γινόμενον περὶ τε ἰσχίον καὶ ὀσφύν· καὶ σκέ-
λη· αἱ δὲ ἐς τέλος ἀπευμέναι ὦσιν, οὐ δὴ ἀφροδισίων
ἐφίενται περιμένουσαι τὰς εὐχάς, οὕτω χρὴ ποιεῖν· περὶ
δὲ τὰς θερμοτέρας τῶν ὑστερῶν, τεκμαίρεσθαι μὲν ὥσπερ
τὰ τε ἄλλα σώματι θερμοτέρῳ ὄντι· καὶ τοῖς καταμηνί-
οις ὀλίγοις· καὶ σὺν πόνῳ καὶ τὸ ἑλκοῦσθαι τὰ αἰδοῖα τῆς γυναι-
κός, ξηροτέρᾳ ὑπὸ πολλῆς θέρμης οὔσῃ· σῖτα ὑγρότερα συμ-
φέρει· μάλιστα δὲ τῶν ἁρμόσει λαχάνων, θριδακίναι
καὶ μαλάχαι· καὶ βλίτα· καὶ κολοκύνθη· καὶ σικύος πεπόνων· καὶ
ἀτράφαξις· καὶ ἀνδράχνη· καὶ πᾶν ὅσον ὑγρότερον ἐστιν ἐν τῇ
δίαιτῃ· δεῖ δὲ τὴν κύστιν καὶ τὴν ὀσφῦν· καὶ τῷ ἐπισιτίῳ προ-
σανατρίβειν καταπλάσσοντα· καὶ τοῖς χυλοῖς ἐπιχρί-
οντα· ὅταν δὲ μέλλοντες τοῖς καταμηνίοις χρῆσθαι οὖ-
σι· τότε ταῦτα ἢ δὴ μίσγεσθαι λήγουσαν τῆς καθάρσεως.
ὅταν δὲ ὑγρότερον ... τῶν ὑστερῶν οὐ κυΐσκονται, διὰ τὰ
μὲν ξηρὰ ἁρμόζει· τουτέστι τῶν ἄνω πλέους· ... τε καὶ
ἔμετοι πλείους· ξηρότερον καὶ μετρίου σιτίου· καὶ δίαιτα πα-
σα ξηροτέρα· ἐνθάδε ... καὶ τὰς ὑστέρας στρυφνοῖς φαρμά-
κοις συγκρατοῦντα· οἷα τὰ ἐστὶ σχίνου τὸ ἀφέψημα· καὶ
μύρτων· καὶ ῥόδων· καὶ ῥοῦ· ἔτι τε ῥοιᾶς ἄνθους· καὶ βα-
λαυστίων ἁπαλῶν· καὶ κηκῖδος· ἢν δὲ ὑπὸ χυμῶν παχυ-
τέρων κωλύηται κυΐσκεσθαι ἢ κατέχειν τὸ κυούμενον· καὶ σημαν-
τικὰ ἐκ τῶν δακνόντων, καθαίρειν τὴν γυναῖκα ὡς ἐκάστω

χυμῶν οἷον δή ἐστι· πάντως τὸ ὀρρὸν τοῦ γάλακτος κα-
τακλύσαι· καὶ ἐπὶ τούτοις ἐξαυρεῖν διαίταν χρηστοτέραν· τοὺς
ἢ φλεγματώδεις πόνοις καὶ ἱδρώτων ἐκβολαῖς καὶ ἐμέτων τιμω-
ρεῖσθαι· ἀρκεστὸν ἢ καὶ τοῦ κασ(τορ)ίου πίνειν· καὶ τοῖς θυμιάμα-
σι πυριᾶσθαι· ἐπειδὴ καὶ πῦς ἐν τῇ ὑστέρᾳ αὐτὸν κωλύει κυΐ-
σκεσθαι, τὸ πρῶτον μὲν ἐνδεέστερον διαίταν ἐπιτακτέον προσ-
φέρει κύμινόν τε καὶ ἄνισον καὶ σελίνου σπέρμα καὶ πηγάνου.
καὶ ἄνηθον· καὶ τῶν ἀρωμάτων τὰ πολλά· καὶ τὰ μέν, διδό-
ναι πιεῖν· τὰ δὲ σκευάζοντας προστιθέναι· τὰς δὲ μεμυ-
κυίας ὑστέρας στομίου χρὴ προσκλύζοντας τοῖς εὐώδεσι· καὶ
πυριῶντας· καὶ προσθέτοις φαρμάκοις· πρὸ τῶν δὲ μαλα-
κὰ προσκλύσματα ἔχειν· τό τε μαλάχην· καὶ τὸ λι-
νόσπερμον· καὶ τὸ βούκερας ἐπιχέων ἐλαίου χρηστοῦ· ἔστι
δ' ὅτε καὶ μέλιτος· ἐπὶ δὲ τοῖς μαλακοῖς· καὶ τῶν ἰσχυροτέρων.
τήν τε ἀρτεμισίαν· καὶ τὴν κόνυζαν· καὶ τὴν καλαμίνθην·
καὶ τὸν γλήχωνα· καὶ τὴν ἀνθεμίδα· τὰ δὲ πρόσθετα ἔστω·
ῥητίνη· τερμινθίνη· καὶ νίτρον· καὶ σύκων τὸ λιπαρὸν· πισ- λ καὶ κασ(τορ)ίου καὶ ὀρρὸς
σα· οἷς δὲ κέχυται τὸ στόμα πλεῖον τοῦ καιροῦ, διαίτα μὲν
ξηρᾷ· καὶ πυρίᾳ ξηρᾷ· φάρμακα καὶ τὰ ξηρά· ἀφ' ὧν τὸ κεχη-
νὸς μύσει· τὰ στέμματα ἢ κύτινα ῥοιῶν καὶ σχῖνος· καὶ ῥίζα
βάτων· καὶ μύρτα· τὰς δὲ διαστροφὰς πυρίαις ἐξευθύνειν·
μάλιστα γὰρ ἐπὶ ταῖς πυρίαις ἀλλῶτον· καὶ τοῖς μαλακοῖς προ-
σθέτοις· καὶ μίξεις ἢ ἐκ τοῦ ὄπισθεν μάλιστα δοκεῖ :— ἢ κυΐσκεσθαι :—

## ἀύπνου θεραπεία·

Ὅσαι μὲν διὰ πλησμονὴν ἢ ἐπίσχεσιν αἵματος ἀπνοοῦσι· φλε-
βοτομεῖν αὐτίκα χρή· ἃς δὲ δι' ἰσχνότητα ἀναπνέουσι· καὶ τὰ
ἄλλα ἐνδεεστέρως διαιτᾶν· οὐδὲ τύχοιεν κατὰ πολλὴν τὸ ξεῖν·
καὶ ἀσθενέσταν τοῦ ἐν τῇ κέδρῳ τὰ θερμὰ ἀλισκόμεναι τὴν ὀσ-
φῦν· ἡκας κενώσεις φυλάττεσθαι· μήτε ἄρα κενοῦντες ἐπιπλεῖ-
ον κατατήξωμεν· ἄμεινον οὖν ἐστὶν ἀθροῖσαι τὸ θερμὸν ἐν—
—προσαγωγ

ἐξ ἅπαντος τρόπου· ἵνα ἡ τῆς διὰ μίξεως ἐπιθυμία, παύσω-
σι τὸν ἔξωθεν ἀέρα· ἀπὸ τῆς ἀφικνούμεναι θεραπείας οὐχ ἢ
μιᾶς ἑτέρας δεηθήσονται·

ἐκ τῶν Φιλουμένου· περὶ ὑστερικῆς πνιγός·

μδ Περὶ τὴν πρώτην ἐπίθεσιν· ἢ καὶ ἤδη καταλημμένης τῆς ὑστε-
ρικῇ πνιγὶ διὰ δεσμοῖς, ἄκρα χρὴ καταλαμβάνειν καὶ τρίβειν
τὰ γόνατα ἰσχυρῶς μετὰ τῶν διαδέσμων· καὶ κνήμας· καὶ τὰ λοιπὰ σκέ-
λη· ὀσφραντά τε τῇ ῥινί, τὰ δυσώδη προσφέρειν, καὶ σίνηπι
ἢ κόλλης προσκαεῖ βουβῶσι· καὶ νεκροῖς· καὶ καστορίῳ· ἐνί-
εναι ἤδη δὲ ἐδόθη καὶ διὰ κλυστῆρος ἐν τοῖς μηνυομένοις· καὶ τὴν
τῶν πνευμάτων ἄνω τῷ δακτύλῳ καὶ τῷ κόλπῳ τῶν γυναι-
κῶν προστιθέναι· οἷον ἐπὶ τὸ δὲ πήγανον λαβοῦσι τρίβεται-
ζῶν μετ᾽ ἐλαίου καὶ προσλαμβάνειν βραχὺ κύμινον καὶ νίτρου· καὶ νίτρου
χρίεται διὰ τίλεως καθ᾽ ἑκατέρων τῶν τόπων· καὶ ἐς αὐτὴν
ἣν τὴν ὑστέραν τὰ εὐώδη τῶν μύρων· ἐγχεόμενα· καὶ ἀπάγειν αὐ-
τὴν πέφυκε· σὺν τούτῳ ἢ καὶ ἐμβοάτω τις αὐταῖς παχυ-
τέρᾳ τῇ φωνῇ· ὕστερον ἢ πταρμικὸν παραλαμβανέσθω·
ἀνενεχθείσης ἢ ἀπὸ τοῦ παροξυσμοῦ· φλεβοτομητέον· εἰ δὲ
μὴ κωλύει· βέλτιον ἢ ἀπὸ σφυροῦ ποιεῖσθαι τὴν ἀφαίρεσιν·
διὰ σικυῶν τὰς ἢ ὅσα ἐπὶ τὰ κάτω φέρει, τὴν διὰ καθολικῶν διὰ
ἱερᾶν δώσομεν· εἶτα χρησόμεθα τῇ τοῦ καστορίου δόσει· πολ-
λάκις γὰρ τοῦτο μόνον ἀπήλλαξε τῆς διαθέσεως τὴν κα-
μοῦσαν· καὶ πυριᾶσθαι ἢ τὸ μελίκρατον δὲ ἢ ἀρτεμισίας ἀφεψή-
ματος· καὶ πεσσοὶ ἢ μαλακτικοί· καὶ τὰ ἐγκαθίσματα
δεόντως ἂν παραλαμβάνοιτο·

περὶ γυναικείου ῥοῦ·

με Χωρὶς τοῦ πεπονθέναι τὴν μήτραν ὁ καλούμενος ῥοῦς γυ-
ναικεῖος ἐστὶν ὅλου τοῦ σώματος ἐκκαθαιρομένου, καὶ
κενουμένου διὰ τῆς ὑστέρας· τοιοῦτον δὲ ἐστὶ τὴν ἰδέαν ἐκ-
κενούμενον· οἷον καὶ τὸ πλεονάζον· τὸ μὲν ἐρυθρὸν ἰχῶρ

αἵματος· ἄτερον ἢ λαπὸν ἀπὸ φλέγματος· ὠχρὸν ἢ:—
ἄλλο · πίνε ὄχολον· ὅτε δὲ ὑδατῶδες ἐστὶ τὸ αἷμα
καθαρὸν ὡς ἐν φλεβοτομίᾳ φέροιτο, προσέχειν ἀκριβῶς,
μή τις ἀνάβρωσις γέγονεν ἐν τῇ μήτρᾳ· χρὴ οὖν τοῖς ξηραί-
νουσι βοηθεῖν ὑγροῦ τοῦ πάθους ὄντος· χωρὶς τοῦ θερ-
μαίνειν ἐπιφανῶς· καὶ βρῖθος ὅλου τοῦ σώματος παρα-
λαμβάνειν· καὶ χρὴ τὰ μήτρας ἱκανῶς ἀνατιθέντα.
Καὶ διουρητικὸν φάρμακον διδόναι· οἷον ἐστὶν ὕδωρ ἐν ᾧ
ἑψηθέντα αὐτὰ δάσφορον· καὶ σέλινον· κενοῦν γὰρ καὶ διὰ
γαστρὸς ὅλον τὸ σῶμα:
πρὸς ῥόον γυναικεῖον θεραπεύσας πλεῖν
Ἀνδράχνη ἑψημένη· καὶ ὁ χυλὸς αὐτῆς πινόμενος· βαλαυ- μς
στίου ὁ χυμός· καὶ τὸ ἄνθος· σίδιος ἀπὸ τῶν φλοιῶν τοῦ προ-
μνώνος τὸ ὑμενῶδες· καὶ τὸ ὑποκάλυμμα τῆς βαλά-
νου· ἵππουρις μάλιστα τὸ ἐρυθρὸν ῥοῦ πινομένη
ἢ οἴνου δι᾽ ὕδατος· ὑποκυστὶς σχίνου καρπὸς φρυγεὶς μετ᾽ οἴνου πι-
νόμενος· τὸν ἐρυθρὸν ῥοῦν ἀπέχει σιδήριος ἀστὴρ· λημνία
σφραγίς:— περὶ φλεγμονῆς ὑστέρας
Ἐμβροχὴ πρῶτον χρηστέον διὰ οἰνορροδίνου· εἶτα δὲ ἐλαίου κα- μζ
θαροῦ· πιλήματα ἢ ἐγχυματιζόμενα· τὰ μὲν τῇ ὀσφύϊ· τὰ
δὲ τῷ ἤτρῳ· ἀπορριφθέντα δίχα ἐπιδέσεως· καὶ μετὰ τὴν κρίσιν
φλεβοτομία παραλαμβανέσθω· γινέσθω δὲ ἀπὸ ἀγκῶνος
ἡ ἀφαίρεσις· τροφὴ δὲ ἔστω· χόνδρος ἐν μελικράτου καὶ ἄρτος
διάβροχος· καὶ ὠὸν ῥοφητόν· ἀνέσεως δὲ γενομένης· κατα-
πλάσμασι χρηστέον· γίνεται δὲ ἀνώδυνον κατάπλασμα.
Καὶ ὡς ὕπνου ποιητικόν· εἴ τις κωδίας ἐν μελικράτῳ ἑ-
ψήσας αὐτὰς μετ᾽ ἐμβάλλοι· προμίξας δὲ τὸ ἔλαιον
τὰ τοῦ καταπλάσματος ἐμπάσσειν· εἰ δὲ ἀγανακτοίη
πρὸς τοῖς θερμάσι ἡ φλεγμονὴ διατεθεῖσιν ἐρυσιπελα-
τώδη ἔχουσα· τούτων μετὰ τῶν καταπλασμάτων ἀποχω-
ρεῖν

π τὸ διὰ τῶν προσιέναι· χρῆσθαι ἢ τῶν ᾠῶν· αἱ λέκιθοι σὺν ἐλαίῳ ...
βοῦνται· ἢ προσπλέκεσθαι ῥόδινον ἢ μήλινον· παρακ-
μῆς δὲ φαινομένης, ἀποχωρουμένων τῶν τικτικῶν· ἐπὶ κη-
ρωτὰ δὲ μεταβαίνειν προσήκει· παρ' ὅλην ἡ θεραπείαν· καὶ
τοῖς ἐγκαθίσμασι χρηστέον· περὶ τῶν ἐν μήτρᾳ ἀποστημάτων

μη Εἰ ἡ φλεγμονὴ τῆς μήτρας εἰς ἐμπύημα τρέποιτο· σίων ἐρ-
γιτέον ἐστὶ τὴ ἐμπύησι διὰ τῆλεως ἢ λινοσπέρμου· καὶ
μᾶλλον τὸ κρίθινον ἄλευρον· τούτοις ἢ σῦκον παραπλεκέ-
σθω· ποτὸν ἢ περιστερᾶς ἄφοδος· ἢ σίνηπι χεσέτερον τὰ ἐγ-
καθίσματα παραλαμβανέσθω· πεσσοὶ ἢ ἀποθέσθωσαν
οἱ θερμαίνειν ἢ ἐρεθίζειν δυνάμενοι· ἵνα ῥᾳδίως ἡ τὴν σύρρηξιν
γίνεσθαι· ποτὲ ἢ διὰ τοῦ στόματος τῆς ὑστέρας· ποτὲ
διὰ τῆς κύστεως· πλειστάκις ἢ εἰς ἀπευθυσμένον συρρήγνυται:

περὶ τῶν ἐν μήτρᾳ ἑλκῶν

μθ Δεόντως θεραπεύεσθαι πάντα τὰ ἐν τῇ μήτρᾳ ἕλκη· διὰ τε
ἐγκαθίσματος καὶ ἐμβροχῶν καὶ καταπλάσματος καὶ
ἰδιαίτερον ἢ ὠφελεῖ τὸ τοιοῦτον ~~ἀφελ~~ φάρμακον· κρόκος καὶ
λίθος λεαίνεται μετὰ γυναικείου γάλακτος· εἶτα ἀναλαμβά-
νεται κηρωτῇ μυρσινίνῃ διειμένῃ μετὰ ῥοδίνου ἢ χηνείου
στέατος· ἐπιχρίεται ἢ ἐνίεται· τοῦτο δὲ ἐστὶ σπουδαιότερον· καὶ
πρὸς πεσσῶν δύνει ἁρμόζον σκευαζόμενον οὕτως· κωδ-
ίαι μήκωνος ἐν ὕδατι βρέχονται κεκομμέναι ἡμέρας δύο ἢ
τρεῖς· ἔπειτα ἕψονται μέχρι τὰ ἀπερωθῶσιν αὐτάρκως· με-
τὰ δὲ τοῦτο λαμβάνειν ῥόδων ἄνθος· ἢ φύλλων κεκομ-
μένων καὶ σεσησμένων ⟨α· καὶ κρόκου ⟨ϛ· καὶ κοινῇ σύλλεαι-
νε· παραμιγνυμένου τούτων κωδιῶν ἀφεψήματος· κη-
ροῦ δὲ τερμινθίνης ⟨η· τῆξαι δὲ σὺν ὠμοτάτῳ ῥοδίνῳ· καὶ μάλιστα
αἱ τῶν ἐν τῇ θυίᾳ· καὶ συμμαλάξας χρῶ· ἔν τε ἐγκαθίσμασι
ἁρμόζω τὸ φάρμακον ἐπὶ τῆς χρίσεως ἀνιέναι ἐν ῥοδίνῳ·
καὶ προστιθέναι ἐν πεσσῷ:

## περὶ τῶν ἐν μέρει παρηγορημάτων

να

Ἐνίοτε ἀρκεῖ ἐστὶ ταύτῃ παρηγορεῖν ἡ αὐτή· καὶ τοὺς πόνους μει-
ζοτέρους ποιεῖν προσήκει διὰ τῶν ἐγκαθισμάτων τῶν διὰ
τήλεως ἢ μαλάχης ἀφεψημάτων· λίαν δὲ πέφυκε πα-
ρηγορεῖν ἐν αὐτοῖς προσαγόμενον ※ χαλαστικὰ καταστάσιν ἀκρι-
βῶς ἐπανελθεῖν δύνασθαι τὸ ἄρθρον· ἀρχὴ δὲ ἔστω σοι
τῆς θεραπείας, ἡ τοῦ λυποῦντος χυμοῦ κένωσις· εἰ μὲν πλη-
θωρικὸν εἴη τὸ σῶμα, φλεβοτομίας ἁπάντων πρώτης πα-
ραλαμβανομένης· εἶτα καθάρσεως· ἀφ' ἧς τῶν τοπικῶν φαρ-
μάκων ἐν καιρῷ καὶ τάξει προσηκούσῃ· ἐπὶ τῆς τῶν
χειρῶν καὶ ποδῶν ἀποκρούσθαι τοῦ ῥεύματος χρω-
μένων ἡμῶν· ἐπὶ δὲ τῆς κατ' ἰσχίον διαθέσεως φυλατ-
τομένων τοῦτο δρᾶν· ἀναβαθείσης γὰρ οὔσης αὐτῆς, συνελαύ-
νεται τὸ ἐκ τῶν περικειμένων ἀγγείων καὶ μυῶν αἷμα
πρὸς ἑαυτό· παρηγορεῖται οὖν· ἐν ἀρχῇ χρεία φαρμά-
κων ἐστὶν ἐπὶ τῆς κατ' ἰσχίον ὀδύνης· οὔτε τῶν τυχόντων
σφοδρῶς· οὔτε τῶν θερμαινόντων ἰσχυρῶς ὁποίων ὕστε-
ρον δεῖται· τοὺς γοῦν [illegible] καὶ κακῶς διῃτωμέ-
νους· οὐδὲ ἐπιχειρῶν δεῖ θεραπεύειν· ὅσοι δὲ εὐπειθεῖς
εἰσίν, ὀνήσεις αὐτοὺς μέγιστα κατὰ τὴν ἀρχὴν τοῦ πάθους· προ-
κενώσας μὲν πρῶτον· ἀφεξῆς δὲ ἐπὶ γυμνασίαν καὶ δίαιταν
ὑγιεινὴν ἄγων· οὐκ ὀλιγάκις δὲ ὑπὸ πλήθους αἵματος γι-
νομένης τῆς ἰσχιάδος θεραπεύομεν αὐτὴν τάχιστα τῶν
κατὰ τὴν ἰγνύαν ἢ παρὰ τὰ σφυρὰ φλεβῶν τεμνομένων·
ἐὰν δέ τις πρὶν κενῶσαι τὸ πᾶν σῶμα δριμέσι φαρμά-
κοις ἐπιστρέψας χρίσῃ κατὰ τοῦ πεπονθότος μορίου δυ-
σιατωτάτην ποιήσει τὴν διάθεσιν· σφηνωμένου τοῦ
πλήθους αὐτόθι· ὠφελοῦσι δὲ καὶ οἱ ἔμετοι τοὺς ἰσχιαδι-
κούς· μᾶλλον τῶν διὰ τῆς γαστρὸς κενώσεων· ἐφ' ὧν δὲ
σφηνωθεὶς γένοιτο σφοδρὰ καὶ δυσλύτως διὰ τὴν τῶν δριμέ-

※ καὶ τὸ σφίγγειν ἀδέσμοις τοῖς [struck through] τὸ σημεῖον τοῦτο ※ ἤτοι τὸ ἔξω πού:

φάρμακον ὃ ποιεῖ βοηθεῖ καὶ ὁ διὰ τῶν καθαρτικῶν
γινόμενος κλυσμός. οἷός ἐστιν ὁ διὰ τῆς κολοκυνθίδος.

πρὸς ποδαγρικὰ ἄρθρα, γραμματικῶς διατιθέντα καὶ
σκίρρους. Ἀριστολοχία πινομένη μεθ' ὕδατος ὠφε-
λεῖ. καὶ κυάμων ἄλευρον ἑψηθέν. καὶ προσβαλὼν ὄξους τε ἅλας
καλοὺς ποιεῖ. ὡς ἡ ἀλλαμὰν ἔλεγε, κραμβῶν ῥιζῶν
ξηρῶν. καὶ κόπρος λαγωοῦ κεκαυμένη τῷ φαρμάκῳ ὄξους τε ἅλας
κάλλιστα ποιεῖ. ὁ δὲ ὠμὸς μὲν ἐν κεδρίου ἀνάλογον. δια-
φορεῖ δὲ ἡ δεκοχμία παλαιοῦ ἀληθῶς. ἀλώπεκα δὲ ὅ-
λον ἑψοῦντες ἐν ἐλαίῳ τινὶ ἀρθριτικοὺς θεραπεύου-
σιν. οἱ δὲ ζῶντας ἐμβάλλουσιν μετ' ἴσου λέβητι. ὁ δὲ καὶ τεθνε-
ῶτας. ὁμοίως δὲ καὶ τὰς ὑαίνας ἔχουσι ποιοῦντες διαφο-
ρητικὸν ἔλαιον. τὰ πλυτήρια αὐτοὺς πληροῦντες ἐνεβίβαζον
αὐταῖς ὅλους τοὺς ἀρθριτικοὺς ἐν διαρκεῖ χρόνῳ τινὶ συ-
χνῷ καὶ λοιπόν. ἐν τούτοις συνέβαινεν, οὐ μόνον λύεσθαι
εἰ τὰ ἄρθρα ὅλους. ἀλλὰ καὶ τὸ σύμπαν σῶμα κενοῦσθαι
πεσσῷ ἢ τῶν πόρων ἐρρηγμένων ἐν τῇ ἑβδόμῃ. ῥηθήσεται
ἢ καὶ αὖ. θεραπεία τῶν ἐν ἄρθροις σκίρρων.

νη ὠναίριζα μετ' ὄξους τὰς σκιρρουμένας ἐν τοῖς ἄρθροις
φλεγμονὰς ἰᾶται τῷ ὑγρῷ τῷ στριμῷ. ἀπὸ τοῦ θριτικοῦ πόρους
ἔχοντος ἐν τοῖς ἄρθροις, ἐχρησάμην ὄξους κρεττάρι χηροῦ
ἀφαιρέματος διασᾶν. καὶ ἐν θυΐᾳ καταδελφῶ σεβαπίμμ
ἐπέθηκα κατὰ τῶν πόρων. καὶ μεγάλως ὠφελήθη. διαρρη-
γνυμένου γὰρ αὐτομάτως αὐτῶν τοῦ δέρματος ἀνατομὴ
ἀνέπλεεν ἀλύπως ἅπας ὁ κημθρας μετὰ τῶν πόρων. πλα-
τέα φύλλα χλωρὰ λεανθέντα τὰς ἐν γόνασι φλεγμονὰς
ὀνίνησιν. ἐφολβίου λαβὸν μετ' ἐλαίου μίγνυσι τὴν κηρωτὴν. καὶ προ-
σάγων πολλάκις ἐχρησάμην ἐπὶ γονάτων κατατυξιν ὀ-
δυνωμένῳ. καὶ ἀπ' ἄλλων μορίων. καὶ ἀνώδυνοι ταχέως
ἐγένοντο. πρὸς σκίρρον τὸ φίλα ἐν τῷ ε τῶν ποδαγρικῶν.

τὸ κασσάνου ῥίζης· ἀσίου λίθου ℥· ἴδε μὴ πλέῃ· ἀλῶν νθ
ἀμμωνιακῶν· προπόλεως λίτρας ἀνὰ οὐγγ. β· ἀμμωνια-
κοῦ θυμιάματος λίτρ. α· ἀρίων οἰσυπηρῶν κεκαυμένων
λίτρ. α· ἀριστολοχίας στρογγύλης· κισσήρεως· κικίδος κόπρου· ἰοῦ
ξυστοῦ λεπίδος χαλκοῦ· μίσυος ἀνὰ δραχμὰς δέκα καὶ
ὀκτώ· κασσιτέρου γράμματα δώδεκα· σμύρνης οὐγγ. γ· ἰξοῦ
δρυΐνου οὐγγ. γ· κηροῦ λίτρ. ια ℥· πιτυΐνης οὐγγ. ιε ℥·
πιτύρου οὐγγ. ιη· γράμματα ιβ· ἐλαίου παλαιοῦ· ὄξους
δριμυτάτου τὸ ἀρκοῦν.

ποδάγρας προφυλακτικόν.

οἱ ἀλουσίᾳ ἐλαίου ἀποτριβόμενοι πάντας τοὺς προφυ- ξ
λαττομένους ἐμπεσεῖν ἐς τὸ ποδαγρικὸν πάθος, ὀνί-
νησι μεγάλως· ὡς μὴ πάνυ ξηρὰν ἔχοι δύσκρασιν. δεῖ δὲ
χρῆσθαι αὐτῷ ἀνωθέντα καὶ δὲ ἑσπέραν χρωμένους
διὰ παντὸς τοῦ βίου· ἢ μάλιστα παρακμὰς ὅταν φλεγμονῶν,
αὐτῷ χρῆσθαι. ἄλλο πρὸς ποδαγρικούς. πόσος
ἐν τῷ ... βιβλίῳ κατὰ τὸ πεντηκοστὸν κεφάλαιον κεῖται.
παλαιοῦ ἐλαίου, ἕψεται ἕως οὗ σύστασιν λάβῃ ἐμπλαστρώ-
δη· καὶ ἐπιπάσας λίτραν νίτρου ἀναλαβὼν χρῶ· ἐμπλά-
σσων. πρὸς ἰσχιαδικούς. θερμῶν πυρῶν ἀλεύρῳ ξα
καταπλάττουσι τοὺς ἰσχιαδικοὺς ὄξει· ἢ ὀξυμέλιτι· ἢ
ὀξυκράτῳ· ἕψοντες καλαμίνθην καταπλάσσουσι τοὺς
ἰσχιαδικοὺς ὡς γενναῖον βοήθημα. καὶ παρὰ τῆς ῥίζης
ὁ φλοιός, καὶ τὸ ἰσχίον ὀδυνᾷ, ὀνίνησι πινόμενον· καὶ
ἔξωθεν τοῖς ἐπὶ τῆς καταπλάσμασι μιγνύμενον. κέδρῳ
μετ᾽ ἐλαίου τοὺς παραλελυμένους καὶ ἰσχιαδικοὺς ἀναζεῖ-
βειν ὠφελιμώτερος ἡ ἀπὸ τῶν ταριχηρῶν ἰχθύων ἅλμη
ἐνίεται τοῖς ἰσχιαδικοῖς· θαλάσσης ἀφέψημα δι᾽ ἕδρας ἐνιέμε-
νον, ὀνίνησιν αἱματώδη κένωσιν. κενταυρίου τοῦ μικροῦ
τὸ ἀφέψημα ἐνιᾶσί τινες ἀγρίως χολώδη· ἢ ὅταν αἱ-
ματώδη

καὶ ἄνωσι μᾶλλον ὠφελεῖ. τινὰ ἢ καὶ ποιότητα πεπειρᾶ-
σθαι ὡς τελέως ἀπαλλάττοντα τῆς τοιαύτης διαθέσεως. ἁπλούστα-
τον ἐστὶ τὸ διὰ τεσσάρων. χαμαίδρυος γο α΄. γεντιανῆς οὐγγ. δ΄
θ΄. ἀριστολοχίας στρογγύλης οὐγγ. θ΄. πηγάνου σπέρματος
ξηροῦ ξε΄ ἕνα. κόψαντα καὶ διηθήσαντα, διδόναι
καθ᾽ ἑκάστην ἡμέραν κοχλιαρίου πλῆθος ἀθρόως.
νήστει καὶ αὐτὸ ἐπίπλωμα εὐθὺς διὰ τοῦ χρόνου
διὰ δύο ἐνιαυτῶν. τὸ δὲ διὰ τῶν
ἑπτά, τοιοῦδε· ἐλ. ὑπερικοῦ γο α΄.
κενταυρίου οὐγγίας γ΄. χαμαιπίτυος οὐγγ. γ΄.
γεντιανῆς οὐγγίας ε΄. ἀριστο-
λοχίας στρογγύλης οὐγγία α΄. ἀ-
γαρικοῦ οὐγγ. γ΄. πετροσελί-
νου οὐγγ. α΄. μελίτου σπ-
τινοῦ μν ε΄. ἡδυ-
οἷς γο α΄. μεθυ-
σθέντος ...
... ζιῶν
ἡδε-
λοι-
πὸν χρῆσθαι
καὶ αὐτῇ.

τέλος

τοῦ ἐνάτου λόγου.

τέλος

Ἐγράφη ἐν Ῥώμῃ ͵αφκζ΄. παρὰ τοῦ
διὰ χειρὸς ἐμοῦ τε καὶ ἀμαθοῦς Νικολάου Σουλιάνου.
συγγνώσκετε οὖν οἱ ἀναγινώσκοντες, ... ἐν: +

BIBLIOTECA UNIVERSITARIA DE SALAMANCA

※ τοῖς παροξυσμοῖς· ἢ τῆς μαλάχης τῆς ἀλθαίας τὰ φύλλα κεράσας μετ᾽ εὐκράτου λειῶσαι
παραπλέκων καὶ ψίχας ὀλίγας· καὶ ῥοδίνου μετὰ ἰσχάδων· μελιλώτου τε καὶ πη-
γάνου ἐνίοτε τὰ σκληρὰ διαλύει· μετὰ δὲ ταῦτα κηρωτῇ προσακτέον ταῖς παρηγορ-
εῖν δυναμέναις· κουφίζει δὲ αὐτοὺς καὶ γάλα [illegible] ἐγχυματιζόμενον· καὶ χυλὸς
τήλεως θερμός· καὶ πτισάνης διὰ κρόκου· καὶ ὑσσώπου· καὶ διὰ [illegible]
τοὺς σπαραζομένους·— πρὸς τὰς ἐν μήτρᾳ ἑλκώσεις· ἶριν, μετὰ μέλιτος, νβ
καὶ τερμινθίνην συμμαλάξας προστίθει· καὶ ἐγκάθισμα ἁρμόσει τὸ διὰ
πτισάνης· φακοῦ χυλοῦ παχέως λελυμένου· ἢ διὰ τὸ σύκων ἀφέψημα· μετὰ δὲ τὸ
ἀπλωθῆναι τοὺς τύλους ἁρμόσει τὸ διὰ καδμείας ἀνιέμενον ῥοδίνῳ·
περὶ φίμου ἐν ὑστέρᾳ·— γίνεται φίμος περὶ τὸ στόμα τῆς ὑστέρας, ἢ διὰ ἑλκώ- νγ
σεων προηγησαμένων· ἢ διὰ φλεγμονὴν σκιρρωθεῖσαν· θεραπεύειν οὖν δεῖ ἐγκα-
θίσμασί τε μαλάσσοντας τοῖς διὰ [illegible] ἐλαίου· καὶ τήλεως ἀφεψήματος· καὶ κα-
ταπλάσσοντας τε ὡσαύτως καὶ πεσσοὺς μαλακτικοὺς προσάγοντας· εἰ δ᾽ ἐγχρο-
νίζει τῆς διαχύσεως, χρηστέον ἐπιθέμασι καὶ θυμιάμασι τοῖς δυναμένοις
λύειν τὸν φίμον, καὶ ὁ διὰ ὑσσώπου καὶ ῥητίνης· καὶ τερμινθίνης πεσσός·
περὶ πνευματώσεως μήτρας·— Ἐμπνευματοῦται μήτρα ποτὲ μὲν πνεύματος νδ
ἐν τῇ μήτρᾳ [illegible] τοῦ κύτους ἀπολαμβανομένου, [illegible]
τὸ [illegible]· ποτὲ δὲ καὶ ὅλον τὸ ὑπογάστριον συνέλκουσα ἐπὶ τύμπανον, [illegible]
βοηθεῖν [illegible], χρονία [illegible], [illegible]
γίνεται τὸ πάθος· ἐν ἀρχῇ τοίνυν μηδὲν κωλύει, φλεβοτομίᾳ παραληπτέον.
καὶ [illegible] διὰ [illegible] ἱερᾶς· εἶτα καταπλάσσειν διὰ τῶν ἰσχά-
δων· ὑσσώπου· νίτρου· πηγάνου· καὶ σικύας κατασχασμοῦ· καὶ μάλαγμα
τὸ πολύαρχον, ἐγκαθίσματα τὸ [illegible] ἀφεψήματος· καὶ [illegible] καὶ πεσ-
σοὺς σπαραζομένους διὰ τερμινθίνης, χαλβάνης· σμύρνης, ἴρεως καὶ ὑσ-
σώπου·— περὶ προπτώσεως ὑστέρας· καταστέλλειν δεῖ τὴν προπεσοῦσαν ὑστέραν νε
πρότερον κλύσμασι χρησάμενον πρὸς τὴν κένωσιν τῶν σκυβάλων· ὡσαύτως
καὶ [illegible] παρὰ τῶν [illegible] [illegible]· καὶ τοῦτο διὰ καθετῆρος ἐκκενωτέον.
εἶτα σχηματίζειν τὴν πάσχουσαν ἐπὶ κλίνης ὑπτίαν ἀνάρροπον
ἔχουσαν τὰς ἰγνύας· καὶ ἐν διαστάσει τὰ σκέλη· ἔπειτα λαβεῖν σύστρεμμα ἐρίου
ἁπαλοῦ· καὶ [illegible]· καὶ [illegible] τῶν κόλπων τῶν [illegible]· περι-
βάλλειν τε λεπτῷ ὀθονίῳ καὶ καταβάλλειν ἐγχύλισμα ὑπονύξει· ἢ [illegible]
οἴνῳ διεψημένης προστιθέναι τῇ ὑστέρᾳ· καὶ [illegible] ἀναβιβάζειν πᾶν
τὸ πεπτωκός· [illegible] ὅλος ἐν τῷ κόλπῳ γένηται· καὶ σκευάζειν ἔξωθεν
[illegible] τοῦ ἱεροῦ ἀποτεθλιμμένης [illegible]· κατακλίνειν τὴν ἄνθρωπον ἐκτεταμένα
ἔχουσαν ἀλλήλοις τὰ σκέλη· ἢ τὸ ἕτερον κατὰ τοῦ ἑτέρου κείμενον.

μετὰ δὲ τοῦτο σικύαν παραλαμβανέσθω μετὰ φλογὸς πλείονος ἄνω πρὸς ὀμφαλὸν
καθ' ἑτέραν λαγόνα. τῇ δὲ τρίτῃ τῶν ἡμερῶν ἀγομένου τοῦ δερίου· ἐγκαθιζέσθω
ἐν ἀφεψήματι οἴνου μέλανος αὐστηροῦ ποσῶς κεχλιασμένῳ ἢ εἰς ἀφέψημα βάτων
ἢ σμύρνης· ἢ σιδίων· μετὰ δὲ ταῦτα τὸ εἰρημένον ἔριον αἰρέσθω· ἕτερον
δὲ ἐντιθέσθω τῷ αὐτῷ ἐν ὀξυκράτῳ φαρμάκῳ· καταπλάσματα δὲ ἔξωθεν
ἐπιρριπτέσθω κατὰ τοῦ ὑπογαστρίου· τὰ διὰ φοινίκων καὶ ἀλφίτων· ἢ φα-
κῆς· ἢ σιδίων· διὰ τρίτης δὲ πάλιν τὰ αὐτὰ γινέσθω ἢ μέχρι πρὸς βεβαίαν
λάβωσιν ἐπουλούμενα τὰ καθηλκωμένα σώματα:

νϛ ἀρθρίτιδος ποδάγρας καὶ ἰσχιάδος θεραπεία. τῆς ἰάσεως ὁ καιρὸς
τούτων, κοινὸς ἐστὶ πρὸς τὰ φλεγμαίνοντα διαφορηθῆναι δεῖ γὰρ χρὴ ζε-
ῥύαν εἰς τοὺς τόπους, εἰ μὲν λεπτὸν εἴη ἐν ἐλάττονι χρόνῳ. παχὺ ἢ ~~ὑπάρχ~~
ὑπάρχον ἢ γλίσχρον ἐν πλείονι καὶ πολὺ τε ἔτι μᾶλλον εἰ γλίσχρον αἷμα
τε εἰ καὶ παχύ, δεῖται χρόνου μακροτέρου· πόρρω μέντοι τῶν τεσσαράκοντα
ἡμερῶν· οὐ καὶ ἐκτείνεται τῆς φλεγμονῆς ἡ θεραπεία. τοῦτο εἰ ἀληθὲς δηλονότι
πράττοντος ὀρθῶς ἅπαντα· καὶ τοῦ κάμνοντος ἀπειθοῦς ὑπάρχοντος· ἐνίο-
τε γὰρ ὁ κατασκήπτων χυμὸς αἱματῖνος ἐστίν· ὡς τὸ πολὺ φύσει καὶ τὰ τῆς
ἀρθρίτιδος· ἔστι δὲ παχύς· οὗτος ~~ὅμοιος~~ ὅμοιος πού ὑέλῳ κεχυμένῃ
τῷ πάχει· χρονίζων ἢ ἐν τοῖς ἄρθροις οὐ μόνον παχύτερος· ἀλλὰ καὶ γλισ-
χρότερος γίνεται. τῶν τε οὖν πόρων ἡ στένωσις ἐκ τούτων· καὶ πολλοῦ δέουσι
μὴ καὶ τ' ἐλπίδες εἰς τὴν ἀρχαίαν.

ἐπιστράφηθι ὄπισθεν εἰς τὸ κα κεφ.

BIBLIOTECA UNIVERSITARIA
DE
SALAMANCA

.ORIBASIVS.MED.

30

ORIBASIꝰ MED.